καὶ καλώντας με νὰ λογοδοτήσω γιὰ τὶς ὁρμές μου.
Ἀλλὰ μέσα στὸ ἔλεός Σου τὸ πολὺ
παράβλεψε τὰ φοβερὰ ἁμαρτήματά μου
καὶ σῶσε με.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα
καὶ τὸν Υἱὸ καὶ τὸ Ἅγιο Πνεῦμα.

*24. Ὑπερούσιε Τριάς,*
*ἡ ἐν Μονάδι προσκυνουμένη,*
*ἆρον τὸν κλοιὸν*
*ἀπ᾽ ἐμοῦ τὸν βαρύν,*
*τὸν τῆς ἁμαρτίας·*
*καὶ ὡς εὔσπλαγχνός μοι δὸς*
*δάκρυα κατανύξεως.*

24. Τριάδα, ποὺ ἡ οὐσία Σου εἶναι ἀπρόσιτη,
Σὲ προσκυνοῦμε ὡς Μονάδα.
Πάρε ἀπὸ πάνω μου
τὸν βαρὺ χαλκὰ
τῆς ἁμαρτίας ποὺ μὲ πνίγει.
Καὶ σὰν σπλαχνικὴ ποὺ ᾽σαι δῶσ᾽ μου
δάκρυα κατανύξεως.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα καὶ πάντοτε καὶ στοὺς
ἀτέλειωτους αἰῶνες. Ἀμήν. Θεοτοκίο.

*25. Θεοτόκε, ἡ ἐλπὶς*
*καὶ προστασία τῶν σὲ ὑμνούντων,*
*ἆρον τὸν κλοιὸν*
*ἀπ᾽ ἐμοῦ τὸν βαρύν,*
*τὸν τῆς ἁμαρτίας·*
*καὶ ὡς Δέσποινα ἁγνή,*
*μετανοοῦντα δέξαι με.*

25. Θεοτόκε, ἡ ἐλπίδα
καὶ προστασία ὅσων σὲ ὑμνοῦν,
πάρε ἀπὸ πάνω μου
τὸν βαρὺ χαλκὰ
τῆς ἁμαρτίας ποὺ μὲ πνίγει.
Καὶ σὰν πάναγνη Δέσποινα
δέξου μου τὴ μετάνοια.

Ὠιδὴ β´. Ὁ Εἱρμός.

*« Πρόσεχε, Οὐρανέ, καὶ λαλήσω*[40]*,*
*» καὶ ἀνυμνήσω Χριστόν,*
*» τὸν ἐκ Παρθένου*
*» σαρκὶ ἐπιδημήσαντα.*

Ὠδὴ β´. Εἱρμός.

Οὐρανέ, δῶσε προσοχὴ τώρα ποὺ θὰ λαλήσω·
θὰ ἀνυμνήσω τὸν Χριστό.
Κεῖνον ποὺ ἀπ᾽ τὰ σπλάχνα τῆς Παρθένου
ὡς ἄνθρωπος ἦρθε στὸν κόσμο.

---

[40] *Δευτ.* 32,1*: «Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ρήματα ἐκ στόματός μου».*

*1. Πρόσεχε, Οὐρανέ, καὶ λαλήσω*[41]*·*
*γῆ, ἐνωτίζου φωνῆς*
*μετανοούσης Θεῷ*
*καὶ ἀνυμνούσης αὐτόν.*

1. Οὐρανέ, δῶσε προσοχὴ τώρα ποὺ θὰ λαλήσω·
Γῆ, ἄκουσε φωνὴ ἀνθρώπου
ποὺ στὸν Θεὸ μετανοεῖ
καὶ ἀνυμνεῖ τὴ δόξα Του.

*2. Πρόσχες μοι, ὁ Θεός, ὡς οἰκτίρμων,*
*ἱλέῳ ὄμματί σου,*
*καὶ δέξαι μου*
*τὴν θερμὴν ἐξομολόγησιν.*

2. Θεέ μου σπλαχνικέ, ρίξε πάνω μου
τὸ βλέμμα σου τὸ συγχωρητικὸ
καὶ δέξου
τὴ θερμή μου ἐξομολόγηση.

*3. Ἡμάρτηκα ὑπὲρ πάντας ἀνθρώπους·*
*μόνος ἡμάρτηκά σοι·*
*ἀλλ᾽ οἴκτειρον ὡς Θεός,*
*Σωτήρ, τὸ ποίημά σου.*

3. Ἁμάρτησα πιότερο ἀπ᾽ ὅλους τοὺς ἀνθρώπους!
Ἐγὼ μόνος ἔχω σὲ Σένα ἁμαρτήσει.
Ἀλλὰ ὡς Θεός, Σωτήρα μου,
σπλαχνίσου τὸ δικό Σου δημιούργημα.

*4. Ζάλη με, τῶν κακῶν περιέχει,*
*εὔσπλαγχνε Κύριε·*
*ἀλλ᾽ ὡς τῷ Πέτρῳ, κἀμοὶ*
*τὴν χεῖρα ἔκτεινον*[42]*.*

4. Βρίσκομαι κυκλωμένος στὴ ζάλη τῶν κακῶν,
εὔσπλαχνε Κύριε.
Γι᾽ αὐτό, ὅπως στὸν Πέτρο, καὶ σὲ μένα
ἅπλωσε τὸ χέρι Σου.

*5. Τὰ δάκρυα τὰ τῆς Πόρνης, Οἰκτίρμον*[43]*,*
*κἀγὼ προβάλλομαι·*
*Ἱλάσθητί μοι, Σωτήρ,*
*τῇ εὐσπλαγχνίᾳ σου.*

5. Τὰ δάκρυα τῆς Πόρνης, Πολυέλεε,
Σοῦ προσφέρω κι ἐγώ.
Μὲς στὴν πολλὴ εὐσπλαχνία Σου,
Σωτήρα μου, συγχώρεσέ με.

*6. Ἠμαύρωσα τῆς ψυχῆς τὸ ὡραῖον*
*ταῖς τῶν παθῶν ἡδοναῖς,*
*καὶ ὅλως ὅλον τὸν νοῦν*
*χοῦν ἀπετέλεσα.*

6. Μὲ τὶς ἐμπαθεῖς ἡδονὲς
ἀμαύρωσα τῆς ψυχῆς μου τὴν ὡραιότητα.
Κι ὁλότελα τὸν νοῦ μου ὁλόκληρο
τὸν ἔσυρα μὲς στὴ λάσπη.

*7. Διέρρηξα νῦν τὴν στολήν μου τὴν πρώτην,*
*ἥν ἐξυφάνατό μοι*
*ὁ Πλαστουργὸς ἐξ ἀρχῆς,*
*καὶ ἔνθεν κεῖμαι γυμνός*[44]*.*

7. Ξέσκισα τὴν πρώτη μου στολή,
ποὺ μοῦ ὕφανε
ὁ Πλαστουργὸς ἀπ᾽ τὴν ὥρα τῆς δημιουργίας!
Ἔτσι εἶμαι πεσμένος χάμω γυμνός!

[41] *Δευτ.* 32,1*: «Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ρήματα ἐκ στόματός μου».*

[42] *Ματθ.* 14,29-31*: «ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.* [30] *βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με. 31 εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε! εἰς τί ἐδίστασας;»*

[43] *Λουκ.* 18,13*: «καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».*

*8. Ἐνδέδυμαι διερρηγμένον χιτῶνα*[45], *ὃν ἐξυφάνατό μοι ὁ ὄφις τῇ συμβουλῇ, καὶ καταισχύνομαι.*

8. Ἔχω ντυθεῖ χιτώνα ξεσκισμένο, ποὺ μοῦ ὕφανε ὁ διάβολος μὲ τὴν πονηρή του συμβουλή, καὶ ντρέπομαι γιὰ τὴν κατάστασή μου.

*9.Προσέβλεψα τοῦ φυτοῦ τὸ ὡραῖον*[46], *καὶ ἠπατήθην τὸν νοῦν· καὶ ἔνθεν κεῖμαι γυμνός, καὶ καταισχύνομαι.*

9. Κοίταξα τὴν ὀμορφιὰ τοῦ δέντρου καὶ ξεγελάστηκε ὁ νοῦς μου. Ἀπ᾽ αὐτὸ εἶμαι πεσμένος χάμω γυμνὸς καὶ γιὰ τὴν κατάστασή μου ντρέπομαι.

*10. Ἐτέκταινον ἐπὶ τὸν νῶτόν μου πάντες*[47] *οἱ ἀρχηγοὶ τῶν κακῶν, μακρύνοντες κατ᾽ ἐμοῦ τὴν ἀνομίαν αὐτῶν.*

10. Μηχανεύονταν πίσω ἀπ᾽ τὴν πλάτη μου ὅλοι οἱ ἀρχηγοὶ τῶν κακῶν, καὶ παρέτειναν γιὰ πολὺ εἰς βάρος μου τὴν ἀνομία τὴ δική τους.

*11. Ἀπώλεσα τὸ πρωτόκτιστον κάλλος καὶ τὴν εὐπρέπειάν μου· καὶ ἄρτι κεῖμαι γυμνός, καὶ καταισχύνομαι.*

11. Ἔχασα τὴν πρώτη ἐκείνη ὀμορφιὰ καὶ τὴν εὐπρέπεια ποὺ μοῦ ᾽δωσε ὁ Κτίστης. Καὶ τώρα εἶμαι πεσμένος χάμω γυμνὸς καὶ ντρέπομαι γιὰ τὴν κατάστασή μου.

*12. Κατέρραψε τοὺς δερματίνους χιτῶνας*[48] *ἡ ἁμαρτία κἀμοί, γυμνώσασά με τῆς πρὶν θεοϋφάντου στολῆς.*

12. Ἔραψε τοὺς δερμάτινους χιτῶνες καὶ σὲ μένα ἡ ἁμαρτία, ἀφοῦ νωρίτερα μὲ γύμνωσε ἀπ᾽ τὴ θεοΰφαντη στολή μου.

*13. Περίκειμαι τὸν στολισμὸν τῆς αἰσχύνης, καθάπερ φύλλα συκῆς*[49],

13. Περιβλήθηκα τῆς ντροπῆς τὸν στολισμὸ σὰν φύλλα συκιᾶς, κι ἔτσι γίνονται φανερὰ

---

44 *Γεν. 3,7: «καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα».*

45 *Γεν. 3,21: «Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς».*

46 *Γεν. 3,6: «καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς, καὶ ἔφαγον».*

47 *Ψαλμ. 128,3: «ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν».*

48 *Γεν. 3,21: «Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς».*

*εἰς ἔλεγχον τῶν ἐμῶν*
*αὐτεξουσίων παθῶν.*

*14. Ἐστόλισμαι κατεστιγμένον χιτῶνα*
*καὶ ἡμαγμένον αἰσχρῶς*
*τῇ ρύσει τῆς ἐμπαθοῦς*
*καὶ φιληδόνου ζωῆς.*

*15. Ἐσπίλωσα τὸν τῆς σαρκός μου*
*χιτῶνα*[50]
*καὶ κατερρύπωσα*
*τὸ κατ᾽ εἰκόνα, Σωτήρ,*
*καὶ καθ᾽ ὁμοίωσιν.*

*16. Ὑπέπεσα τῇ τῶν παθῶν ἀχθηδόνι*
*καὶ τῇ ἐνύλῳ φθορᾷ·*
*καὶ ἔνθεν νῦν ὁ ἐχθρὸς*
*καταπιέζει με.*

*17. Φιλόϋλον καὶ φιλοκτήμονα βίον*
*τῆς ἀκτησίας, Σωτήρ,*
*προκρίνας, νῦν τὸν βαρὺν*
*κλοιὸν περίκειμαι.*

*18. Ἐκόσμησα τὸν τῆς σαρκὸς ἀνδριάντα*
*τῇ τῶν αἰσχρῶν λογισμῶν*
*ποικίλῃ περιβολῇ*
*καὶ κατακρίνομαι.*

*19. Τῆς ἔξωθεν ἐπιμελῶς εὐκοσμίας*
*μόνης ἐφρόντισα,*
*τῆς ἔνδον ὑπεριδὼν*
*θεοτυπώτου σκηνῆς.*

*20. Μορφώσας μου τὴν τῶν παθῶν*
*ἀμορφίαν,*
*ταῖς φιληδόνοις ὁρμαῖς*
*ἐλυμηνάμην τοῦ νοῦ*

τὰ θεληματικά μου πάθη.

14. Στολίστηκα χιτώνα κηλιδωμένο
καὶ λερωμένο ἀπ᾽ τὰ αἵματα
τῶν αἰσχρῶν παθῶν
τῆς φιλήδονης ζωῆς.

15. Σπίλωσα τῆς σάρκας μου τὸν χιτώνα
καὶ γέμισα ἀπὸ κηλίδες,
Σωτήρα μου, τὸ «κατ᾽ εἰκόνα»
καὶ τὸ «καθ᾽ ὁμοίωσιν».

16. Ὑπέκυψα στῶν παθῶν τὴν ἀθλιότητα
καὶ στὰ φθαρτὰ τὰ ὑλικά.
Καὶ γι᾽ αὐτὸ τώρα ὁ ἐχθρὸς
μὲ πιέζει ἀφάνταστα.

17. Ἀντὶ τῆς ἀκτημοσύνης, Σωτήρα μου,
διάλεξα τῆς ὕλης καὶ τῆς πλεονεξίας τὴ ζωή.
Γι᾽ αὐτὸ καὶ τώρα
βρίσκομαι δεμένος μὲ βαριὰ ἁλυσίδα.

18. Στόλισα τὴ σάρκα ποὺ μὲ περιβάλλει
μὲ τῶν αἰσχρῶν λογισμῶν
τὴν παρδαλὴ φορεσιά.
Γι᾽ αὐτὸ καταδικάζομαι.

19. Μόνο τοῦ ἔξω ἀνθρώπου φρόντισα
περίτεχνα τὸν στολισμό,
παραβλέποντας τοῦ μέσα ἀνθρώπου
τὴ θεοτύπωτη σκηνή.

20. Μορφοποίησα μὲ τὶς φιλήδονες ὁρμὲς
τὰ ἄτακτα πάθη.
Ἔτσι ἀφάνισα
τοῦ νοῦ τὴν ὀμορφιά.

---

[49] *Γεν. 3,7: «καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα».*
[50] *Γεν. 3,21: «Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς».*

*τὴν ὡραιότητα.*

*21. Κατέχρωσα τῆς πρὶν εἰκόνος τὸ κάλλος,*
*Σῶτερ, τοῖς πάθεσιν·*
*ἀλλ᾽ ὥς ποτε τὴν δραχμὴν*
*ἀναζητήσας εὐρέ.*

21. Μόλυνα τῆς εἰκόνας τοῦ Θεοῦ τὸ κάλλος,
Σωτῆρα, μὲ τὰ πάθη μου.
Ἀλλ᾽ ὅπως κάποτε τὴ χαμένη δραχμὴ
ψάξε νὰ μὲ ἀνεύρεις.

*22. Ἡμάρτηκα, ὥσπερ ἡ Πόρνη βοῶ σοι·*
*μόνος ἡμάρτηκά σοι·*
*ὡς μύρον δέχου, Σωτήρ,*
*κἀμοῦ τὰ δάκρυα*[51].

22. Ὅπως ἡ Πόρνη φωνάζω δυνατά: Ἀμάρτησα!
Ἔχω ἁμαρτήσει σὲ Σένα μονάχος μου.
Ὅπως ἀπὸ κείνη τὸ μύρο, Σωτῆρα μου,
δέξου κι ἀπὸ μένα τὰ δάκρυα.

*23. Ὠλίσθησα ὡς ὁ Δαυῒδ ἀκολάστως*[52],
*καὶ βεβορβόρωμαι·*
*ἀλλ᾽ ἀποπλύναις κἀμέ,*
*Σωτήρ, τοῖς δάκρυσι.*

23. Γλίστρησα στὴν ἀκολασία ὅπως ὁ Δαβὶδ
καὶ κυλίστηκα μέσα στὸν βοῦρκο!
Εἴθε κι ἐμένα ν᾽ ἀποπλύνεις,
Σωτῆρα, μὲ τὰ δάκρυα.

*24. Ἱλάσθητι, ὡς ὁ Τελώνης βοῶ σοι,*
*Σῶτερ, ἱλάσθητί μοι*[53]*·*
*οὐδεὶς γὰρ τῶν ἐξ Ἀδὰμ*
*ὡς ἐγὼ ἥμαρτέ σοι.*

24. Ὅπως ὁ Τελώνης φωνάζω δυνατά:
Σπλαχνίσου·
Σωτῆρα μου, σπλαχνίσου με.
Γιατὶ κανένας ἀπ᾽ τοὺς ἀπογόνους τοῦ Ἀδάμ,
ὅπως ἐγὼ σὲ Σένα, δὲν ἁμάρτησε.

*25. Οὐ δάκρυα, οὐδὲ μετάνοιαν ἔχω,*

25. Οὔτε δάκρυα, οὔτε μετάνοια,

[51] *Λουκ.* 7,36-38*: «Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη.* [37] *καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου* [38] *καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ»*

[52] *Β΄ Βασ.* 11,1-4*: «Καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν τῆς ἐξοδίας τῶν βασιλέων, καὶ ἀπέστειλε Δαυὶδ τὸν Ἰωὰβ καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ καὶ τὸν πάντα Ἰσραήλ, καὶ διέφθειραν τοὺς υἱοὺς Ἀμμὼν καὶ διεκάθισαν ἐπὶ Ραββάθ· καὶ Δαυὶδ ἐκάθισεν ἐν Ἱερουσαλήμ.* [2] *καὶ ἐγένετο πρὸς ἑσπέραν καὶ ἀνέστη Δαυὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βασιλέως καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος, καὶ ἡ γυνὴ καλὴ τῷ εἴδει σφόδρα.* [3] *καὶ ἀπέστειλε Δαυὶδ καὶ ἐζήτησε τὴν γυναῖκα καὶ εἶπεν· οὐχὶ αὕτη Βηρσαβεὲ θυγάτηρ Ἐλιὰβ γυνὴ Οὐρίου τοῦ Χετταίου;* [4] *καὶ ἀπέστειλε Δαυὶδ ἀγγέλους καὶ ἔλαβεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐκοιμήθη μετ' αὐτῆς, καὶ αὐτὴ ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς, καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς».*

[53] *Λουκ.* 18,13*: «καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».*

*οὐδὲ κατάνυξιν·*
*αὐτός μοι ταῦτα, Σωτήρ,*
*ὡς Θεὸς δώρησαι.*

οὔτε κατάνυξη ἔχω!
Σύ, Σωτήρα μου, ὡς Θεός,
χάρισέ μου τα.

*26. Τὴν θύραν σου μὴ ἀποκλείσῃς μοι τότε,*
*Κύριε, Κύριε·*
*ἀλλ᾽ ἄνοιξόν μοι αὐτὴν*
*μετανοοῦντί σοι.*

26. Κύριε! Μὴ μοῦ κλείσεις τότε,
Κύριε, τὴ θύρα τοῦ νυμφώνα Σου.
Ἀλλ᾽ ἄνοιξέ μου την,
βλέποντας τὴ μετάνοιά μου.

*27. Φιλάνθρωπε, ὁ πάντας θέλων σωθῆναι[54],*
*σὺ ἀνακάλεσαί με,*
*καὶ δέξαι ὡς ἀγαθὸς*
*μετανοοῦντά με.*

27. Φιλάνθρωπε, ποὺ θέλεις ὅλοι νὰ σωθοῦν,
Σὲ παρακαλῶ νὰ μὲ ξαναφέρεις κοντά Σου
καὶ νὰ δεχτεῖς σὰν ἀγαθὸς
τὴ μετάνοιά μου.

*28. Ἐνώτισαι τοὺς στεναγμοὺς τῆς ψυχῆς μου,*
*καὶ τῶν ἐμῶν ὀφθαλμῶν*
*προσδέχου τοὺς σταλαγμούς,*
*Σωτήρ, καὶ σῶσόν με.*

28. Ἄκουσε μὲ προσοχὴ τοὺς στεναγμοὺς τῆς ψυχῆς μου
καὶ κάνε δεχτὰ τὰ δάκρυα,
ποὺ στάζουν ἀπ᾽ τὰ μάτια μου.
Κι ἔτσι, Σωτήρα, σῶσε με.

*Θεοτοκίον.*

Θεοτοκίο.

*29. Ἄχραντε, Θεοτόκε Παρθένε,*
*μόνη πανύμνητε,*
*ἱκέτευε ἐκτενῶς*
*εἰς τὸ σωθῆναι ἡμᾶς.*

29. Ἄχραντη παρθένε Θεοτόκε,
σὺ ποὺ ξεχωριστὰ κι ἀτέλειωτα ὑμνεῖσαι,
ἱκέτευε ἀκατάπαυστα
γιὰ νὰ σωθοῦμε ἐμεῖς οἱ ἄνθρωποι.

Εἱρμὸς ἄλλος.

Εἱρμὸς ἄλλος.

*«Ἴδετε, ἴδετε[55],*
*» ὅτι ἐγώ εἰμι Θεός,*
*» ὁ μάννα ἐπομβρήσας[56]*
*» καὶ τὸ ὕδωρ ἐκ πέτρας[57]*

Κοιτάξτε! Κοιτάξτε,
γιὰ νὰ βεβαιωθεῖτε ὅτι ἐγὼ ᾽μαι ὁ Θεός,
ποὺ ᾽βρεξα τὸ μάννα
κι ἔκανα νὰ ξεπηδήσει παλαιότερα γιὰ χάρη τοῦ

[54] *Α΄ Τιμ.* 2,4: *«ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν».*
[55] *Ἀββακούμ* 1,5: *«ἴδετε, οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται».*
[56] *Ἔξοδ.* 16,14-15: *«καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκόν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. [15] ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν ἕτερος τῷ ἑτέρῳ· τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν, τί ἦν. εἶπε δὲ Μωυσῆς αὐτοῖς· οὗτος ὁ ἄρτος, ὃν ἔδωκε Κύριος ὑμῖν φαγεῖν».*

*» πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου,*
*» τῇ μόνῃ δεξιᾷ*
*» καὶ τῇ ἰσχύι τῇ ἐμῇ.*

μὲς στὴν ἔρημο ἀπ᾽ τὴν πέτρα τὸ νερό,
[λαοῦ μου
μὲ τὸ δεξί μου χέρι μόνο
καὶ τὴ δική μου δύναμη!

*30. Ἴδετε, ἴδετε*[58]*,*
*ὅτι ἐγώ εἰμι Θεός·*
*ἐνωτίζου, ψυχή μου,*
*τοῦ Κυρίου βοῶντος·*
*καὶ ἀποσπάσθητι τῆς πρώτης ἁμαρτίας,*
*καὶ φοβοῦ ὡς δικαστὴν*
*καὶ ὡς κριτὴν καὶ Θεόν.*

30. Κοιτάξτε! Κοιτάξτε,
γιὰ νὰ βεβαιωθεῖτε ὅτι ἐγὼ ᾽μαι ὁ Θεός!
Ἄκουσε μὲ προσοχή, ψυχή μου,
τὸν Κύριο ποὺ φωνάζει δυνατά!
Ξεκόλλησε ἀπ᾽ τὴ ζωὴ τῆς ἁμαρτίας ποὺ ζεῖς ὣς
Φοβήσου τον ὡς δικαστὴ [τώρα.
καὶ ὡς κριτὴ καὶ Θεό!

*31. Τίνι ὡμοιώθης,*
*πολυαμάρτητε ψυχή;*
*εἰμὴ τῷ πρώτῳ Κάϊν*[59]*,*
*καὶ τῷ Λάμεχ*[60] *ἐκείνῳ,*
*λιθοκτονήσασα τὸ σῶμα κακουργίαις*
*καὶ κτείνασα τὸν νοῦν*
*ταῖς παραλόγοις ὁρμαῖς.*

31. Μὲ ποιόν ἔγινες ὅμοια,
ψυχή μου, γεμάτη ἁμαρτίες;
Ἀλίμονο! Τοῦ Κάιν τοῦ παλιοῦ
κι ἐκείνου τοῦ Λάμεχ ἔμοιασες!
Λιθοβόλησες καὶ θανάτωσες τὸ σῶμα μὲ τὶς κακὲς
καὶ σκότωσες τὸν νοῦ [σου πράξεις
μὲ τὶς παράλογες ὁρμές!

*32. Πάντας τοὺς πρὸ νόμου*
*παραδραμοῦσα, ὦ ψυχή,*
*τῷ Σὴθ οὐχ ὡμοιώθης,*
*οὐ τὸν Ἐνὼς*[61] *ἐμιμήσω,*
*οὐ τὸν Ἐνὼχ*[62] *τῇ μεταθέσει, οὐ τὸν Νῶε*[63]*·*

32. Ὅλους τοὺς δίκαιους, ποὺ ἔζησαν πρὶν νὰ
δοθεῖ παρέτρεξες, ψυχή μου, ἀστόχαστα! [ὁ
νόμος, Δὲν ἔμοιασες τοῦ Σήθ.
Δὲν μιμθηκες τὸν Ἐνώς.
Οὔτε τοῦ Ἐνὼχ τὴ μετάθεση στοὺς οὐρανούς,

---

[57] Ἔξοδ. 17,6: *«ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐν Χωρήβ· καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. ἐποίησε δὲ Μωυσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ».*

[58] Ἀββακούμ 1,5: *«ἴδετε, οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται».*

[59] Γεν. 4,8: *«καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν εἰς τὸ πεδίον. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν».*

[60] Γεν. 4,23: *«εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί».*

[61] Γεν. 4,25-26: *«Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα· ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. 26 καὶ τῷ Σὴθ ἐγένετο υἱός, ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθα τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ».*

[62] Γεν. 5,24: *«καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ καὶ οὐχ εὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός».*

*ἀλλ᾽ ὤφθης πενιχρὰ*
*τῆς τῶν δικαίων ζωῆς.*

Ἀποδείχτηκες φτωχή, [οὔτε τὸν Νῶε.
συγκρινόμενη μὲ τῶν δικαίων τὸν βίο.

*33. Μόνη ἐξήνοιξας*
*τοὺς καταρράκτας τῆς ὀργῆς*[64]
*τοῦ Θεοῦ σου, ψυχή μου,*
*καὶ κατέκλυσας πᾶσαν,*
*ὡς γῆν, τὴν σάρκα καὶ τὰς πράξεις καὶ*
*τὸν βίον·*
*καὶ ἔμεινας ἐκτὸς*
*τῆς σωστικῆς Κιβωτοῦ.*

33. Μόνη σου ἄνοιξες,
ψυχή μου, τοὺς καταρράχτες
τῆς θεϊκῆς ὀργῆς.
Κι ὅπως τότε κατακλύστηκε ἡ γῆ, ἔτσι τώρα
πλημμύρισες τὸ σῶμα ὁλόκληρο, τὶς πράξεις καὶ
κι ἔμεινες ἔξω [τὸν βίο
ἀπ᾽ τὴ σωστικὴ Κιβωτό.

*34. Ἄνδρα ἀπέκτεινα,*
*φησίν, εἰς μώλωπα ἐμοί,*
*καὶ νεανίσκον εἰς τραῦμα,*
*Λάμεχ θρηνῶν ἐβόα*[65]*·*
*σὺ δὲ οὐ τρέμεις, ὦ ψυχή μου, ρυπωθεῖσα*
*τὴν σάρκα καὶ τὸν νοῦν*
*κατασπιλώσασα.*

34. Ὁ Λάμεχ θρηνώντας φώναζε δυνατὰ
κι ἔλεγε:
σκότωσα ἄνθρωπο γιὰ δικό μου κακὸ
καὶ νέο γιὰ δική μου συμφορά.
Καὶ σύ, ψυχή μου, πῶς δὲν τρέμεις,
ποὺ λερώθηκες καταμολύνοντας
τὴ σάρκα καὶ τὸν νοῦ;

*35. Ὢ πῶς ἐζήλωσα*
*Λάμεχ τὸν πρῴην φονευτήν*[66]*,*
*τὴν ψυχὴν ὥσπερ ἄνδρα,*
*τὸν νοῦν ὡς νεανίσκον,*
*ὡς ἀδελφὸν δέ μου τὸ σῶμα ἀποκτείνας,*
*ὡς Κάϊν ὁ φονεύς,*
*ταῖς φιληδόνοις ὁρμαῖς!*

35. Ἀλίμονο! Πῶς ζήλεψα
τὸν ἀρχαῖο Λάμεχ τὸν φονιά!
Τὴν ψυχή μου, ὅπως ἐκεῖνος τὸν ἄντρα,
τὸν νοῦ, ὅπως τὸν νεανίσκο,
καὶ τὸ σῶμα μου, ὅπως ὁ Κάιν ὁ φονιάς,
σὰν ἀδελφό μου δολοφόνησα
μὲ τὶς φιλήδονες ὁρμές!

*36. Πύργον ἐσοφίσω*
*οἰκοδομῆσαι, ὦ ψυχή,*

36. Πύργο σοφίστηκες
νὰ χτίσεις, ψυχή μου,

---

63 *Γεν. 6,9: «Αὗται δὲ αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ Θεῷ εὐηρέστησε Νῶε».*

64 *Γεν. 7,11: «ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ δευτέρου μηνός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, τῇ ἡμέρᾳ ταύτῃ ἐρράγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν».*

65 *Γεν. 4,23: «εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί».*

66 *Γεν. 4,23: «εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί».*

*καὶ ὀχύρωμα πῆξαι*
*ταῖς σαῖς ἐπιθυμίαις,*
*εἰμὴ συνέχεεν ὁ Κτίστης τὰς βουλάς σου,*
*καὶ κατέαξεν εἰς γῆν*
*τὰ μηχανήματά σου*[67].

καὶ νὰ στήσεις κάστρο
μὲ τὶς ἁμαρτωλές σου ἐπιθυμίες,
ἂν δὲν ἔφερνε σύγχυση ὁ Κτίστης στὶς βουλές σου
καὶ δὲν σώριαζε κάτω στὴ γῆ
τὰ πονηρά σου σχέδια.

*37. Τέτρωμαι, πέπληγμαι·*
*ἰδοὺ τὰ βέλη τοῦ ἐχθροῦ*
*τὰ καταστίξαντά μου*
*τὴν ψυχὴν καὶ τὸ σῶμα·*
*ἰδοὺ τὰ τραύματα, τὰ ἕλκη, αἱ πηρώσεις*
*βοῶσοι τὰς πληγὰς*
*τῶν αὐθαιρέτων μου παθῶν.*

37. Τραυματίστηκα! Πληγώθηκα!
Νὰ καὶ τὰ βέλη τοῦ ἐχθροῦ,
ποὺ κατατρύπησαν
τὴν ψυχή μου καὶ τὸ σῶμα.
Νὰ τὰ τραύματα, οἱ φλεγμονές, τὰ σακατέματα.
Φανερώνουν τὰ χτυπήματα
τῶν ἀκυβέρνητων παθῶν μου.

*38. Ἔβρεξε Κύριος*
*παρὰ Κυρίου πῦρ ποτε,*
*ἀνομίαν ὀργῶσαν*
*πυρπολήσας Σοδόμων*[68]*·*
*σὺ δὲ τὸ πῦρ ἐξέκαυσας τὸ τῆς γεέννης,*
*ἐν ᾧ μέλλεις, ψυχή,*
*συγκατακαίεσθαι πικρῶς.*

38.Ἔβρεξε κάποτε
ὁ Κύριος, κατὰ παραχώρηση τοῦ Πατέρα Του,
κι ἔκαψε τῶν Σοδόμων [φωτιὰ
τὴ μανιασμένη ἀνομία.
Καὶ σύ, ψυχή μου, ἄναψες τῆς γέεννας τὸ πῦρ,
μὲς στὸ ὁποῖο πρόκειται
νὰ καίγεσαι μὲ τοὺς Σοδομίτες πικρά.

*39. Γνῶτε καὶ ἴδετε,*
*ὅτι ἐγώ εἰμι Θεός*[69]*,*
*ὁ ἐρευνῶν καρδίας*
*καὶ κολάζων ἐννοίας,*

39. Μάθετε ρωτώντας καὶ στοχαστεῖτε
ὅτι ἐγὼ ᾽μαι ὁ Θεός,
ποὺ ἐρευνᾶ τὶς καρδιὲς
καὶ τιμωρεῖ λογισμούς.

---

[67] *Γεν.* 11,4-11*: «καὶ εἶπαν· δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς. [5] καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων· [6] καὶ εἶπε Κύριος· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων, καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. [7] δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον. [8] καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον. [9] διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Σύγχυσις, ὅτι ἐκεῖ συνέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς Κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς. [10] Καὶ αὗται αἱ γενέσεις Σήμ. καί ἦν Σὴμ υἱὸς ἑκατὸν ἐτῶν, ὅτε ἐγέννησε τὸν Ἀρφαξάδ, δευτέρου ἔτους μετὰ τὸν κατακλυσμόν. [11] καὶ ἔζησε Σὴμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἀρφαξὰδ ἔτη πεντακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε».*

[68] *Γεν.* 19,24*: «καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον, καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ».*

[69] *Ἰερ.* 17,10*: «ἐγὼ Κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων νεφροὺς τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ».*

*ἐλέγχων πράξεις καὶ φλογίζων ἁμαρτίας, καὶ κρίνων ὀρφανὸν καὶ ταπεινὸν καὶ πτωχόν.*

Ἐλέγχει πράξεις καὶ κατακαίει ἁμαρτίες. Καὶ ὑπερασπίζεται τὸ δίκιο τοῦ ὀρφανοῦ, τοῦ ταπεινοῦ καὶ τοῦ φτωχοῦ.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα…

*40. Ἄναρχε, ἄκτιστε*
*Τριάς, ἀμέριστε Μονάς,*
*μετανοοῦντά με δέξαι,*
*ἡμαρτηκότα σῶσον·*
*σόν εἰμι πλάσμα· μὴ παρίδῃς,*
*ἀλλὰ φεῖσαι καὶ ῥῦσαι*
*τοῦ πυρὸς τῆς καταδίκης με.*

40. Τριάδα, ποὺ οὔτε ἀρχὴ ἔχεις οὔτε εἶσαι κτίσμα·
Μονάδα, ποὺ μένεις ἀδιαίρετη,
δέξου μου τὴ μετάνοια.
Σῶσε με τὸν ἁμαρτωλό.
Πλάσμα δικό Σου εἶμαι· μὴ μὲ παραβλέψεις.
Ἀλλὰ λυπήσου καὶ λύτρωσέ με
ἀπ᾽ τὴ φωτιὰ τῆς αἰώνιας καταδίκης.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα… Θεοτοκίο.

*41. Ἄχραντε Δέσποινα,*
*Θεογεννῆτορ, ἡ ἐλπὶς*
*τῶν εἰς σὲ προστρεχόντων*
*καὶ λιμὴν τῶν ἐν ζάλῃ,*
*τὸν ἐλεήμονα καὶ Κτίστην καὶ Υἱόν σου*
*ἱλέωσαι κἀμοὶ*
*ταῖς ἱκεσίαις ταῖς σαῖς.*

41. Ἄχραντη θεογεννήτρια Δέσποινα,
ἡ ἐλπίδα κείνων
ποὺ σὲ σένα καταφεύγουν
καὶ τὸ λιμάνι κείνων ποὺ παραδέρνονται στὸ πέλαγος τοῦ βίου,
μὲ τὶς δικές σου ἱκεσίες
ὁ ἐλεήμονας Κύριος καὶ Κτίστης καὶ Υἱός σου.

Ὠιδὴ γ΄. Ὁ Εἱρμός.

Ὠδὴ γ΄. Εἱρμός.

*«Ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,*
*» πέτραν τῶν ἐντολῶν σου*
*» τὴν Ἐκκλησίαν σου στερέωσον.*

Ἀπάνω στὸν ἀσάλευτο βράχο
τῶν ἐντολῶν Σου, Χριστέ,
στερέωσε τὴν Ἐκκλησία Σου.

*1. Πῦρ παρὰ Κυρίου, ψυχή,*
*Κύριος ἐπιβρέξας,*
*τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν*[70].

1. Φωτιά, ψυχή μου, παλαιότερα
ἔβρεξε ὁ Κύριος
καὶ κατέκαψε τὴ χώρα τῶν Σοδόμων.

*2. Εἰς τὸ ὄρος σῴζου, ψυχή,*
*ὥσπερ ὁ Λὼτ ἐκεῖνος*[71],

2. Ὅπως ὁ παλιὸς ἐκεῖνος Λώτ, ψυχή μου,
τρέξε στὸ βουνὸ γιὰ νὰ σωθεῖς

[70] *Γεν. 19,24: «καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον, καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ».*

[71] *Γεν. 19,17-18: «καὶ ἐγένετο, ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω καὶ εἶπαν· σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σῴζου, μήποτε συμπαραληφθῇς.* [18] *εἶπε δὲ Λὼτ πρὸς αὐτούς· δέομαι κύριε».*

*καὶ εἰς Σηγὼρ[72] προανασώθητι.*

καὶ στὴ Σηγὼρ νὰ φτάσεις σῶα γρήγορα.

*3. Φεῦγε ἐμπρησμόν, ὦ ψυχή,*
*φεῦγε Σοδόμων καῦσιν,*
*φεῦγε φθορὰν θείας φλογώσεως.*

3. Φύγε τὸν ἐμπρησμό, ψυχή μου!
Φύγε τῶν Σοδόμων τὸ κάψιμο!
Φύγε τὴν καταστροφὴ τῆς θεϊκῆς φωτιᾶς!

*4. Ἐξομολογοῦμαί σοι, Σωτήρ·*
*Ἥμαρτον, ἥμαρτόν σοι·*
*ἀλλ᾽ ἄνες, ἄφες μοι ὡς εὔσπλαγχνος.*

4. Σοῦ ἐξομολογοῦμαι, Σωτῆρα μου.
Ἁμάρτησα! Ἁμάρτησα σὲ Σένα!
Λευτέρωσέ με καὶ συγχώρεσέ με ὡς εὔσπλαχνος.

*5. Ἥμαρτόν σοι μόνος ἐγώ,*
*ἥμαρτον ὑπὲρ πάντας·*
*Χριστὲ Σωτήρ, μὴ ὑπερίδῃς με.*

5. Μόνος ἐγὼ σὲ Σένα ἁμάρτησα!
Ἁμάρτησα πιότερο ἀπ᾽ ὅλους τοὺς ἀνθρώπους
Χριστὲ Σωτῆρα, μὴ μὲ καταφρονήσεις.

*6. Σὺ εἶ ὁ Ποιμὴν ὁ καλός[73]·*
*ζήτησόν με τὸν ἄρνα,*
*καὶ πλανηθέντα μὴ παρίδῃς με.*

6. Σύ ᾽σαι ὁ Ποιμένας ὁ καλός.
Ἀναζήτησέ με, τὸ ἀρνί Σου.
Καὶ πλανεμένο μὴ μὲ παραβλέψεις.

*7. Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς,*
*σὺ εἶ ὁ Πλαστουργός μου·*
*ἐν σοί, Σωτήρ, δικαιωθήσομαι.*

7. Σύ ᾽σαι ὁ γλυκός μου Ἰησοῦς,
σύ ᾽σαι ὁ Πλαστουργός μου.
Κοντά Σου θὰ δικαιωθῶ, Σωτῆρα μου.

*Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον ἡμᾶς.*

Ἁγία Τριάδα, ὁ ἀληθινὸς Θεός, ἐλέησέ μας.

*8. Ὦ Τριὰς Μονάς, ὁ Θεός,*
*σῶσον ἡμᾶς ἐκ πλάνης,*
*καὶ πειρασμῶν καὶ περιστάσεων.*

8. Τριάδα καὶ συγχρόνως Μονάδα, ὁ ἀληθινὸς Θεός, σῶσε μας ἀπὸ πλάνη καὶ πειρασμοὺς καὶ περιστάσεις δύσκολες.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ὑπεραγία Θεοτόκε, σῶσε μας.

*9. Χαῖρε, θεοδόχε γαστήρ·*
*χαῖρε, θρόνε Κυρίου·*
*χαῖρε, ἡ μήτηρ τῆς ζωῆς ἡμῶν.*

9. Χαῖρε κοιλιά, ποὺ δέχτηκες τὴ Θεότητα.
Χαῖρε σύ, ποὺ ἔγινες τοῦ Κυρίου θρόνος.
Χαῖρε ἡ Μητέρα τῆς ζωῆς, τοῦ Χριστοῦ μας.

Εἱρμὸς ἄλλος.

Εἱρμὸς ἄλλος.

[72] *Γεν.* 19,22*: «σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα, ἕως τοῦ ἐλθεῖν σε ἐκεῖ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ».*

[73] *Ἰω.* 10,11*: «ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων».*

*« Στερέωσον, Κύριε[74],*
*» ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου*
*» σαλευθεῖσαν τὴν καρδίαν μου·*
*» ὅτι μόνος*
*» ἅγιος ὑπάρχεις καὶ Κύριος.*

Στερέωσε, Κύριε,
πάνω στὴν πέτρα τῶν ἐντολῶν Σου
τὴν καρδιά μου ποὺ κλονίζεται ἀπ᾽ τὴν ἀπιστία.
Σὺ εἶσαι ὁ μόνος Ἅγιος
καὶ ὁ μόνος Κύριος.

*10. Πηγὴν ζωῆς κέκτημαι*
*σὲ τοῦ θανάτου τὸν καθαιρέτην,*
*καὶ βοῶ σοι ἐκ καρδίας μου*
*πρὸ τοῦ τέλους·*
*Ἥμαρτον, ἱλάσθητι, σῶσόν με[75].*

10. Πηγὴ ζωῆς ἔχω
Ἐσένα, τὸν νικητὴ τοῦ θανάτου,
καὶ Σοῦ φωνάζω δυνατὰ μέσ᾽ ἀπ᾽ τὰ βάθη τῆς καρ
διᾶς μου πρὶν ἀπ᾽ τὴν ὕστατη στιγμή: Ἁμάρτησα!
Συγχώρεσέ με! Σῶσε με!

*11. Τοὺς ἐπὶ Νῶε, Σωτήρ,*
*ἠσελγηκότας ἐμιμησάμην,*
*τὴν ἐκείνων κληρωσάμενος*
*καταδίκην*
*ἐν κατακλυσμῷ καταδύσεως[76].*

11. Σωτήρα μου, μιμήθηκα κείνους,
ποὺ ἀσέλγησαν στὴν ἐποχὴ τοῦ Νῶε.
Γι᾽ αὐτὸ καὶ μοῦ δόθηκε
ἡ καταδίκη ἐκείνων,
τὸ βούλιαγμα μὲς στὸν κατακλυσμό.

*12. Ἡμάρτηκα, Κύριε,*
*ἡμάρτηκά σοι, ἱλάσθητί μοι·*
*οὐ γὰρ ἔστιν ὅς τις ἥμαρτεν*
*ἐν ἀνθρώποις,*
*ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι.*

12. Ἁμάρτησα, Κύριε!
Ἁμάρτησα! Συγχώρεσέ με!
Γιατὶ δὲν ὑπάρχει ἄλλος ἀπ᾽ τοὺς ἀνθρώπους
ποὺ ν᾽ ἁμάρτησε,
καὶ νὰ μὴν τὸν ξεπέρασα στὶς ἁμαρτίες.

*13. Τὸν Χὰμ[77] ἐκεῖνον, ψυχή,*

13. Τὸν παλιὸ ἐκεῖνο Χάμ,

---

[74] *Α΄Βασ.* 2,1-2*: «Καί ἐγένετο μετὰ ταῦτα καὶ ἐπηρώτησε Δαυὶδ ἐν Κυρίῳ λέγων· εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων Ἰούδα; καὶ εἶπε Κύριος πρὸς αὐτόν· ἀνάβηθι. καὶ εἶπε Δαυίδ· ποῦ ἀναβῶ; καὶ εἶπεν· εἰς Χεβρών.* [2] *καὶ ἀνέβη ἐκεῖ Δαυὶδ εἰς Χεβρὼν καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχινόομ ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρμηλίου».*

[75] *Λουκ.* 15,21*: «εἶπε δὲ αὐτῷ ὁ υἱός· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου» καί Λουκ.* 18,13*: «καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».*

[76] *Ματθ.* 24,38*: «ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν» καί Γεν.* 6,12*: «καὶ εἶδε Κύριος ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς».*

[77] *Γεν.* 9,21-27*: «καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.* [22] *καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω.* [23] *καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.* [24] *ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος,* [25] *καὶ εἶπεν· ἐπικατάρατος Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.* [26] *καὶ εἶπεν·*

*τὸν πατραλοίαν μιμησαμένη,*
*τὴν αἰσχύνην οὐκ ἐκάλυψας*
*τοῦ πλησίον,*
*ὀπισθοφανῶς ἀνακάμψασα.*

μιμήθηκες, ψυχή, τὸν πατροκτόνο!
Δὲν σκέπασες τὴ ντροπὴ
τοῦ πλησίον
κλίνοντας πρὸς τὰ πίσω.

*14. Τὴν εὐλογίαν τοῦ Σὴμ*[78]
*οὐκ ἐκληρώσω, ψυχὴ ἀθλία·*
*οὐ πλατεῖαν τὴν κατάσχεσιν,*
*ὡς Ἰάφεθ,*
*ἔσχες ἐν τῇ γῇ τῆς ἀφέσεως.*

14. Τὴν εὐλογία τοῦ Σὴμ
δὲν κληρονόμησες, ἄθλια ψυχή μου.
Καὶ μερίδα μεγάλη,
ὅπως ὁ Ἰάφεθ,
δὲν ἀπόχτησες πάνω στὴ γῆ τῆς ἀφέσεως.

*15. Ἐκ γῆς Χαρρὰν ἔξελθε*[79]*,*
*τῆς ἁμαρτίας, ψυχή μου, δεῦρο*
*εἰς γῆν ῥέουσαν ἀείζωον*
*ἀφθαρσίαν,*
*ἣν ὁ Ἀβραὰμ ἐκληρώσατο.*

15. Ἐμπρός, ψυχή μου, ἀναχώρησε
ἀπ᾽ τὴ γῆ τῆς Χαρράν, ποὺ ᾽ναι ἡ ἁμαρτία.
Κι ἔλα στὴ γῆ, ὅπου ῥέει
πάντοτε ἡ ἄφθαρτη ζωή,
κείνη ποὺ κληρονόμησε κι ὁ Ἀβραάμ.

*16. Τὸν Ἀβραὰμ ἤκουσας*
*πάλαι, ψυχή μου, καταλιπόντα*
*γῆν πατρῴαν, καὶ γενόμενον*
*μετανάστην·*
*τούτου τὴν προαίρεσιν μίμησαι.*

16. Ἄκουσες, ψυχή μου,
ὅτι ὁ Ἀβραὰμ παλιὰ ἐγκατέλειψε
τὰ χώματα τὰ πατρικὰ
κι ἔγινε μετανάστης.
Τούτου νὰ μιμηθεῖς τὴν προαίρεση.

*17. Ἐν τῇ δρυῒ τῇ Μαμβρῇ,*
*φιλοξενήσας ὁ Πατριάρχης*
*τοὺς Ἀγγέλους, ἐκληρώσατο*
*μετὰ γῆρας*
*τῆς ἐπαγγελίας τὸ θήραμα*[80]*.*

17. Κοντὰ στὴ βαλανιδιὰ τοῦ Μαμβρῇ
φιλοξένησε ὁ Πατριάρχης
τοὺς Ἀγγέλους. Ἔτσι ἔλαβε,
ἔχοντας πιὰ γεράσει,
τὸν καρπὸ τῆς ὑποσχέσεως.

---

*εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ.* [27] *πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ».*

[78] *Γεν.* 9,26-27: *«καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ. 27 πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ».*

[79] *Γεν.* 12,1-5: *«Καί εἶπε Κύριος τῷ Ἄβραμ· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω·* [2] *καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος·* [3] *καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.* [4] *καὶ ἐπορεύθη Ἄβραμ, καθάπερ ἐλάλησεν αὐτῷ Κύριος, καὶ ᾤχετο μετ᾽ αὐτοῦ Λώτ. Ἄβραμ δὲ ἦν ἐτῶν ἑβδομηκονταπέντε, ὅτε ἐξῆλθε ἐκ Χαρράν.* [5] *καὶ ἔλαβεν Ἄβραμ Σάραν τὴν γυναῖκα αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχήν, ἣν ἐκτήσαντο ἐκ Χαρράν, καὶ ἐξήλθοσαν πορευθῆναι εἰς γῆν Χαναάν».*

*18. Τὸν Ἰσαάκ, τάλαινα,*
*γνοῦσα, ψυχή μου, καινὴν θυσίαν*[81]
*μυστικῶς ὁλοκαρπούμενον*
*τῷ Κυρίῳ,*
*μίμησαι αὐτοῦ τὴν προαίρεσιν.*

18. Τὸν Ἰσαὰκ βλέποντας,
ταλαίπωρη ψυχή μου, πρωτοφανὲς θύμα,
μυστικὰ νὰ θυσιάζεται
στὸν Κύριο,
μιμήσου ἐκείνου τὴ διάθεση.

*19. Τὸν Ἰσμαὴλ ἤκουσας*[82]*,*

19. Ψυχή μου, πρόσεχε! Ὁ Ἰσμαὴλ

---

[80] *Γεν.* 18,1-8*: «Ὤφθη δὲ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ² ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν. ³ καὶ εἶπε· κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου· ⁴ ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον· ⁵ καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ εἶπαν· οὕτω ποίησον, καθὼς εἴρηκας. ⁶ καὶ ἔσπευσεν Ἁβραὰμ ἐπὶ τὴν σκηνὴν πρὸς Σάρραν καὶ εἶπεν αὐτῇ· σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως καὶ ποίησον ἐγκρυφίας. ⁷ καὶ εἰς τὰς βόας ἔδραμεν Ἁβραὰμ καὶ ἔλαβεν ἁπαλὸν μοσχάριον καὶ καλὸν καὶ ἔδωκε τῷ παιδί, καὶ ἐτάχυνε τοῦ ποιῆσαι αὐτό. ⁸ ἔλαβε δὲ βούτυρον, καὶ γάλα, καὶ τὸ μοσχάριον ὃ ἐποίησε, καὶ παρέθηκεν αὐτοῖς, καὶ ἔφαγον· αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον».*

[81] *Γεν.* 22,1-13*: «Καί ἐγένετο μετὰ τὰ ρήματα ταῦτα ὁ Θεός ἐπείρασε τὸν Ἁβραὰμ καὶ εἶπεν αὐτῷ· Ἁβραάμ, Ἁβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. ² καὶ εἶπε· λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκον αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾿ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. ³ ἀναστὰς δὲ Ἁβραὰμ τὸ πρωΐ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾿ ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ. ⁴ καὶ ἀναβλέψας Ἁβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν. ⁵ καὶ εἶπεν Ἁβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. ⁶ ἔλαβε δὲ Ἁβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. ⁷ εἶπε δὲ Ἰσαὰκ πρὸς Ἁβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ. ὁ δὲ εἶπε· τί ἐστι, τέκνον; εἶπε δέ· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; ⁸ εἶπε δὲ Ἁβραάμ· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα, ⁹ ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἁβραὰμ τὸ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. ¹⁰ καὶ ἐξέτεινεν Ἁβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. ¹¹ καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· Ἁβραάμ, Ἁβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. ¹² καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾿ ἐμέ. ¹³ καὶ ἀναβλέψας Ἁβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἁβραὰμ καὶ ἔλαβε τὸν κριὸν καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ».*

[82] *Γεν.* 16,1-14*: «Σάρα δὲ γυνὴ Ἅβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. ² εἶπε δὲ Σάρα πρὸς Ἅβραμ· ἰδοὺ συνέκλεισέ με Κύριος τοῦ μὴ τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσωμαι ἐξ αὐτῆς. ὑπήκουσε δὲ Ἅβραμ τῆς*

*νῆφε, ψυχή μου, ἐκδιωχθέντα,*
*ὡς παιδίσκης ἀποκύημα·*
*βλέπε, μήπως*
*ὅμοιόν τι πάθῃς λαγνεύουσα.*

ἄκουσες ὅτι διώχτηκε
γιατὶ ἦταν δούλας γέννημα.
Βλέπε καλὰ μήπως κάτι
παρόμοιο πάθεις ὄντας ἀκόλαστη.

*20. Τῇ Ἄγαρ πάλαι, ψυχή,*
*τῇ Αἰγυπτίᾳ παρωμοιώθης,*
*δουλωθεῖσα τὴν προαίρεσιν,*
*καὶ τεκοῦσα*
*νέον Ἰσμαήλ, τὴν αὐθάδειαν.*

20. Τῆς Ἄγαρ τῆς παλιᾶς ἐκείνης ἔμοιασες,
ψυχή μου, τῆς Αἰγύπτιας.
Ὑποτάχτηκε ἡ θέλησή σου
καὶ γέννησες
νέο Ἰσμαήλ, τὴν αὐθάδεια.

*21. Τὴν Ἰακὼβ κλίμακα*[83]
*ἔγνως, ψυχή μου, δεικνυομένην*
*ἀπὸ γῆς πρὸς τὰ οὐράνια·*
*τί μὴ ἔσχες*
*βάσιν ἀσφαλῆ τὴν εὐσέβειαν;*

21. Τοῦ Ἰακὼβ ἡ σκάλα,
ψυχή μου, ἔμαθες ὅτι φάνηκε
νὰ στηρίζεται στὴ γῆ καὶ νὰ φτάνει στὰ οὐράνια.
Γιατὶ σὺ δὲν ἀπόχτησες
τὴν εὐσέβεια θεμέλιο ἀκλόνητο;

---

*φωνῆς Σάρας. [3] καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἅβραμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἅβραμ ἐν γῇ Χαναάν, ἔδωκεν αὐτὴν τῷ Ἅβραμ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα. [4] καὶ εἰσῆλθε πρὸς Ἄγαρ, καὶ συνέλαβε. καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς. [5] εἶπε δὲ Σάρα πρὸς Ἅβραμ· ἀδικοῦμαι ἐκ σοῦ· ἐγὼ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου, ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς· κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. [6] εἶπε δὲ Ἅβραμ πρὸς Σάραν· ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστόν ᾖ. καὶ ἐκάκωσεν αὐτὴν Σάρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς. [7] Εὗρε δὲ αὐτὴν ἄγγελος Κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ Σούρ. [8] καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου. Ἄγαρ, παιδίσκη Σάρας, πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; καὶ εἶπεν· ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. [9] εἶπε δὲ αὐτῇ ὁ ἄγγελος Κυρίου· ἀποστράφηθι πρὸς τὴν κυρίαν σου καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς. [10] καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους. [11] καί εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· ἰδού, σὺ ἐν γαστρί ἔχεις καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ, ὅτι ἐπήκουσε Κύριος τῇ ταπεινώσει σου. [12] οὗτος ἔσται ἄγροικος ἄνθρωπος αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ᾽ αὐτόν, καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει. [13] καὶ ἐκάλεσεν Ἄγαρ τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν· σὺ ὁ Θεὸς ὁ ἐπιδών με, ὅτι εἶπε· καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι. [14] ἕνεκεν τούτου ἐκάλεσε τὸ φρέαρ Φρέαρ οὗ ἐνώπιον εἶδον· ἰδοὺ ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Βαράδ» καί Γεν.* 21,8-12*: « Καὶ ηὐξήθη τὸ παιδίον καὶ ἀπεγαλακτίσθη, καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. [9] ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς· [10] καὶ εἶπε τῷ Ἀβραάμ· ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. [11] σκληρὸν δὲ ἐφάνη τὸ ρῆμα σφόδρα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ. [12] εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ· μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης· πάντα ἂν ὅσα εἴπῃ σοι Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα».*

[83] *Γεν.* 28,12*: «καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς».*

*22. Τὸν ἱερέα Θεοῦ*
*καὶ βασιλέα μεμονωμένον,*
*τοῦ Χριστοῦ τὸ ἀφομοίωμα,*
*τοῦ ἐν κόσμῳ,*
*βίου ἐν ἀνθρώποις, μιμήθητι*[84].

22. Τὸν ἱερέα τοῦ Θεοῦ
καὶ βασιλιά, τὸν τύπο τοῦ Χριστοῦ,
ποὺ ᾿ζησε ἀποκομμένος
ἀπ᾿ τὴ ζωὴ τοῦ κόσμου, στοὺς ἀνθρώπους
ἀνάμεσα, πρέπει νὰ μιμηθεῖς.

*23. Μὴ γένη στήλη ἁλός*[85]*,*
*ψυχή, στραφεῖσα εἰς τὰ ὀπίσω·*
*τὸ ὑπόδειγμα φοβείτω σε*
*τῶν Σοδόμων·*
*ἄνω εἰς Σηγὼρ*[86] *διασώθητι.*

23. Ψυχή μου, πρόσεξε μὴ γίνεις ἄγαλμα ἀπὸ
ἁλάτι, γυρνώντας νὰ κοιτάξεις πίσω.
Τὸ φοβερὸ παράδειγμα τῶν Σοδόμων
ἂς σὲ φοβίζει.
Γι᾿ αὐτὸ τρέξε ψηλὰ στὴ Σηγὼρ γιὰ νὰ σωθεῖς.

*24. Τὸν ἐμπρησμόν, ὥσπερ Λώτ*[87]*,*
*φεῦγε, ψυχή μου, τῆς ἁμαρτίας·*
*φεῦγε Σόδομα καὶ Γόμορρα*[88]*·*
*φεῦγε φλόγα*
*πάσης παραλόγου ὀρέξεως.*

24. Ὅπως ὁ Λώτ, ψυχή μου, ἀπόφευγε
τὴ φοβερὴ φωτιὰ τῆς ἁμαρτίας!
Φύγε μακριὰ ἀπ᾿ τὰ Σόδομα καὶ Γόμορρα!
Ἀπόφευγε τὴ φλόγα ποὺ ἀνάβει
κάθε ἁμαρτωλὴ ὄρεξη.

*25. Ἐλέησον, Κύριε,*
*ἐλέησόν με, ἀναβοῶ σοι,*

25. Ἐλέησε, Κύριε! Δυνατὰ Σοῦ φωνάζω: Ἐλέησέ
με, ὅταν θὰ ἔρθεις μὲ τοὺς ἀγγέλους Σου γιὰ ν᾿

---

[84] *Γεν.* 14,18: *«καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου» καί Ἑβρ.* 7,3-4: *«ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. ⁴ Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης».*

[85] *Γεν.* 19,24: *«καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω καὶ ἐγένετο στήλη ἁλός».*

[86] *Γεν.* 19,22: *«σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα, ἕως τοῦ ἐλθεῖν σε ἐκεῖ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ».*

[87] *Γεν.* 19,24: *«καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω καὶ ἐγένετο στήλη ἁλός».*

[88] *Γεν.* 19,4-11: *«πρὸ τοῦ κοιμηθῆναι δέ, οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα. ⁵ καὶ ἐξεκαλοῦντο τὸν Λὼτ καὶ ἔλεγον πρὸς αὐτόν· ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. ⁶ ἐξῆλθε δὲ Λὼτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέῳξεν ὀπίσω αὐτοῦ. 7 εἶπε δὲ πρὸς αὐτούς· μηδαμῶς ἀδελφοί, μὴ πονηρεύσησθε. ⁸ εἰσὶ δέ μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς, καθὰ ἂν ἀρέσκῃ ὑμῖν· μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. ⁹ εἶπαν δὲ αὐτῷ· ἀπόστα ἐκεῖ. εἰσῆλθες παροικεῖν· μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σὲ κακώσωμεν μᾶλλον ἢ ἐκείνους. καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν Λὼτ σφόδρα. καὶ ἤγγισαν συντρίψαι τὴν θύραν. ¹⁰ ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· ¹¹ τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἐν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν».*

*ὅτε ἥξεις μετ᾽ Ἀγγέλων σου*[89]
*ἀποδοῦναι*
*πᾶσι κατ᾽ ἀξίαν τῶν πράξεων*[90].

ἀνταποδώσεις στοὺς ἀνθρώπους ὅλους σύμφωνα
μὲ τὰ ἔργα τους.

*26. Τὴν δέησιν, Δέσποτα,*
*τῶν σὲ ὑμνούντων μὴ ἀπορρίψῃς·*
*ἀλλ᾽ οἰκτείρησον, φιλάνθρωπε,*
*καὶ παράσχου*
*πίστει αἰτουμένοις τὴν ἄφεσιν.*

26. Τὴ δέηση κείνων ποὺ Σὲ ὑμνοῦν,
Κύριε, μὴν περιφρονήσεις!
Νὰ φανεῖς σπλαχνικός, Φιλάνθρωπε!
Δῶσε τὴν ἄφεση
σ᾽ ὅσους μὲ πίστη τὴ ζητοῦν.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα...

*27. Μονὰς ἁπλῆ, ἄκτιστε,*
*ἄναρχε φύσις, ἡ ἐν Τριάδι,*
*ὑμνουμένη ὑποστάσεων,*
*ἡμᾶς σῶσον*
*πίστει προσκυνοῦντας τὸ κράτος σου.*

27. Μονάδα ἁπλὴ καὶ ἄκτιστη·
Φύση χωρὶς ἀρχή,
ποὺ σὲ τρεῖς ὑποστάσεις ὑμνεῖσαι,
σῶσε ὅλους ἐμᾶς,
ποὺ μὲ πίστη προσκυνοῦμε τὴ δύναμή Σου.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα... Θεοτοκίο.

*28. Τὸν ἐκ Πατρὸς ἄχρονον*
*Υἱὸν ἐν χρόνῳ, Θεοκυῆτορ,*
*ἀπειράνδρως ἀπεκύησας·*
*ξένον θαῦμα!*
*μείνασα Παρθένος θηλάζουσα.*

28. Τὸν Υἱὸ ποὺ γεννήθηκε ἄχρονα ἀπ᾽ τὸν
Πατέρα ἔφερες στὸν κόσμο μέσα στὸν χρόνο,
Θεογεννήτρια, χωρὶς νὰ γνωρίσεις ἄνδρα.
Φοβερὸ καὶ παράδοξο θαῦμα!
Ἔμεινες Παρθένος καὶ συνάμα θήλαζες!

Ὠιδὴ δ΄. Ὁ Εἱρμός.

Ὠδὴ δ΄. Εἱρμός.

*«Ἀκήκοεν ὁ Προφήτης*[91]
*» τὴν ἔλευσίν σου, Κύριε, καὶ ἐφοβήθη,*
*» ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι*
*» καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν·*
*» Ἀκήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην·*
*» δόξα τῇ δυνάμει σου, Κύριε.*

Ὁ Προφήτης ἄκουσε, Κύριε,
τὸν ἐρχομό Σου καὶ φοβήθηκε.
Ὅτι ἔμελλες δηλαδὴ νὰ γεννηθεῖς ἀπ᾽ τὴν
Παρθένο καὶ νὰ φανερωθεῖς στοὺς ἀνθρώπους. Κι
ἔλεγε: Ἄκουσα τὸν λόγο ποὺ βγῆκε ἀπ᾽ τὸ στόμα
Σου καὶ Δόξα ἀνήκει στὴ δύναμή Σου, Κύριε!

*1. Τὰ ἔργα σου μὴ παρίδῃς·*
*τὸ πλάσμα σου μὴ παρόψῃ, Δικαιοκρίτα·*

1. Μὴν παραβλέψεις τὰ ἔργα Σου!
Τὸ πλάσμα Σου, Κριτὴ δίκαιε, μὴν

[89] *Ματθ.* 25,31: *«Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ».*
[90] *Ματθ.* 16,27: *«μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ».*
[91] *Ἀμβ.* 3,1: *«Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην».*

*εἰ καὶ μόνος ἥμαρτον ὡς ἄνθρωπος*
*ὑπὲρ πάντα ἄνθρωπον, Φιλάνθρωπε·*
*ἀλλ᾽ ἔχεις, ὡς Κύριος πάντων, τὴν ἐξουσίαν*
*ἀφιέναι ἁμαρτήματα*[92].

παραθεωρήσεις!
Ὁμολογῶ! Ἁμάρτησα μόνος ἐγὼ ὡς ἄνθρωπος,
Φιλάνθρωπε, πιότερο ἀπὸ κάθε ἄλλον ἄνθρωπο!
Ὅμως Σὺ ὡς Κύριος τῶν ὅλων ἔχεις τὴν ἐξουσία
νὰ συγχωρεῖς ἁμαρτήματα.

*2. Ἐγγίζει, ψυχή, τὸ τέλος,*
*ἐγγίζει καὶ οὐ φροντίζεις, οὐχ ἑτοιμάζῃ·*
*ὁ καιρὸς συντέμνει, διανάστηθι·*
*ἐγγὺς ἐπὶ θύραις ὁ Κριτής ἐστιν·*
*ὡς ὄναρ*[93]*, ὡς ἄνθος*[94] *ὁ χρόνος τοῦ βίου τρέχει·*
*τί μάτην ταραττόμεθα;*

2. Ψυχή μου, ζυγώνει τὸ τέλος τῆς ζωῆς σου!
Ζυγώνει, κι ὅμως δὲν νοιάζεσαι. Δὲν ἑτοιμάζεσαι!
Ὁ καιρὸς λιγοστεύει! Σήκω ἀπάνω!
Ὅπου νὰ ᾽ναι, ὁ Κριτὴς ἔρχεται!
Σὰν ὄνειρο, σὰν λουλούδι τρέχει ὁ χρόνος τῆς ζωῆς!
Γιατί ταραζόμαστε μάταια;

*3. Ἀνάνηψον ὦ ψυχή μου·*
*τὰς πράξεις σου, ἃς εἰργάσω, ἀναλογίζου*
*καὶ ταύτας ἐπ᾽ ὄψεσι προσάγαγε*
*καὶ σταγόνας στάλαξον δακρύων σου·*
*εἰπὲ παρρησίᾳ τὰς πράξεις, τὰς ἐνθυμήσεις*
*Χριστῷ καὶ δικαιώθητι.*

3. Ψυχή μου, ἔλα στὰ λογικά σου!
Στοχάσου τὶς πράξεις ποὺ ᾽κανες.
Εἰκόνισέ τες στὰ μάτια σου μπροστὰ
καὶ χύσε δάκρυα γι᾽ αὐτές.
Φανέρωσε στὸν Χριστὸ χωρὶς νὰ ντρέπεσαι
τὶς πράξεις καὶ τοὺς λογισμοὺς γιὰ νὰ δικαιωθεῖς!

*4. Οὐ γέγονεν ἐν τῷ βίῳ*
*ἁμάρτημα, οὐδὲ πρᾶξις, οὐδὲ κακία,*
*ἣν ἐγώ, Σωτήρ, οὐκ ἐπλημμέλησα*
*κατὰ νοῦν καὶ λόγον καὶ προαίρεσιν,*
*καὶ θέσει καὶ γνώμῃ καὶ πράξει ἐξαμαρτήσας,*
*ὡς ἄλλος οὐδεὶς πώποτε.*

4. Στὸν βίο τοῦτο, Σωτήρα μου, δὲν ὑπάρχει
ἁμάρτημα οὔτε πράξη οὔτε κακία,
ποὺ νὰ μὴν τὴν ἔκανα ἐγώ!
Καὶ νοερὰ καὶ μὲ τὸν λόγο καὶ τὴ διάθεση,
καὶ μὲ τὴ θέληση καὶ μὲ τὰ ἔργα ἁμάρτησα,
ὅσο κανεὶς ἄλλος ποτέ!

*5. Ἐντεῦθεν καὶ κατεκρίθην,*
*ἐντεῦθεν κατεδικάσθην ἐγὼ ὁ τάλας*
*ὑπὸ τῆς οἰκείας συνειδήσεως,*
*ἧς οὐδὲν ἐν κόσμῳ βιαιότερον.*
*Κριτά, λυτρωτά μου καὶ γνῶστα, φεῖσαι καὶ ῥῦσαι*
*καὶ σῶσόν με τὸν δοῦλόν σου.*

5. Γι᾽ αὐτὸ καὶ κατακρίθηκα!
Γι᾽ αὐτὸ ὁ ταλαίπωρος ἐγὼ καταδικάστηκα
ἀπ᾽ τὴ συνείδησή μου, ἀπ᾽ τὴν ὁποία
τίποτε στὸν κόσμο δὲν ὑπάρχει πιὸ βασανιστικό.
Λυτρωτή μου καὶ Κριτὴ καὶ γνώστη τῆς ζωῆς μου,
λυπήσου καὶ γλύτωσε καὶ σῶσε με τὸν δοῦλο Σου.

---

[92] *Μάρκ.* 2,10*: «ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας — λέγει τῷ παραλυτικῷ».*

[93] *Ἰακ.* 4,14*: «οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γὰρ ἔσται ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ καὶ ἀφανιζομένη».*

[94] *Ἰακ.* 1,10*: «ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται».*

*6. Ἡ κλῖμαξ, ἣν εἶδε πάλαι*[95]
*ὁ μέγας ἐν Πατριάρχαις, δεῖγμα, ψυχή μου,*
*πρακτικῆς ὑπάρχει ἐπιβάσεως,*
*γνωστικῆς τυγχάνει ἀναβάσεως·*
*εἰ θέλεις οὖν πράξει, καὶ γνώσει καὶ θεωρίᾳ*
*βιοῦν, ἀνακαινίσθητι.*

6. Ἡ σκάλα, ποὺ εἶδε παλαιά, ψυχή μου,
ὁ μεγάλος Πατριάρχης Ἰακώβ, φανερώνει
τὴν ἀνηφόρα ποὺ ἔχει ἡ ἀρετὴ στὴν πράξη
καὶ συμβολίζει τὸ ὕψος, στὸ ὁποῖο ὁδηγεῖ ἡ γνώση.
Ἂν θέλεις, λοιπόν, νὰ ζεῖς μὲ πράξη καὶ γνώση καὶ
φρόντισε νὰ γίνεις καινούργιος ἄνθρωπος.

*7. Τὸν καύσωνα τῆς ἡμέρας*
*ὑπέμεινε δι᾽ ἔνδειαν ὁ Πατριάρχης*[96]*,*
*καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε,*
*καθ᾽ ἡμέραν κλέμματα ποιούμενος,*
*ποιμαίνων, πυκτεύων, δουλεύων, ἵνα τὰς δύω γυναῖκας εἰσαγάγηται.*

7. Τὸ κάμα τῆς ἡμέρας ἀπὸ ἀνάγκη
ὑπέμεινε ὁ Πατριάρχης
καὶ τῆς νύχτας τὴν παγωνιὰ ὑπέφερε,
κάνοντας καθημερινὰ τεχνάσματα,
βόσκοντας, παλεύοντας, δουλεύοντας,
γιὰ νὰ μπορέσει νὰ πάρει καὶ τὶς δυὸ γυναῖκες.

*8. Γυναῖκάς μοι δύω νόει,*
*τὴν πρᾶξίν τε καὶ τὴν γνῶσιν ἐν θεωρίᾳ·*
*τὴν μὲν Λείαν πρᾶξιν ὡς πολύτεκνον·*
*τὴν Ραχὴλ δὲ*[97] *γνῶσιν ὡς πολύπονον·*
*καὶ γὰρ ἄνευ πόνων οὐ πρᾶξις, οὐ θεωρία,*
*ψυχή, κατορθωθήσεται.*

8. Οἱ δυὸ γυναῖκες γιὰ μένα συμβολίζουν
τὴν πράξη καὶ τὴ γνώση ποὺ ἀποκτιέται μὲ
θεωρία. Ἡ Λεία, σὰν πολύτεκνη, τὴν πράξη.
Κι ἡ Ραχήλ, γιὰ τὴν ὁποία δούλεψε περισσότερο,
Κι ὅλα αὐτὰ γιατὶ χωρὶς κόπους οὔτε ἡ ψυχή μου,
κατορθώνεται.

*9. Γρηγόρησον, ὦ ψυχή μου,*
*ἀρίστευσον ὡς ὁ μέγας ἐν Πατριάρχαις,*
*ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως,*
*ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν,*
*καὶ φθάσῃς τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ,*
*καὶ γένῃ μεγαλέμπορος.*

9. Μένε ἄγρυπνη, ψυχή μου!
Ὅπως ὁ μεγάλος Πατριάρχης, δεῖξε ἀνδρεία
γιὰ ν᾽ ἀποχτήσεις πράξη γνωστική.
Γιὰ νὰ γενεῖς νοῦς ποὺ βλέπει τὸν Θεό.
Νὰ μπεῖς στὸν ἄδυτο γνόφο μὲ θεωρία
κι ἔτσι νὰ γίνεις ἔμπορος μεγάλων δωρεῶν.

---

[95] *Γεν.* 28,12*: «καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς».*

[96] *Γεν.* 31,39-40*: «θηριάλωτον οὐκ ἐνήνοχά σοι, ἐγὼ ἀπετίννυον παρ᾽ ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός·* [40] *ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος μου ἀπὸ τῶν ὀφθαλμῶν μου».*

[97] *Γεν.* 31,41*: «ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου· ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάσιν».*

| | |
|---|---|
| *10. Τοὺς δώδεκα Πατριάρχας*<br>*ὁ μέγας ἐν Πατριάρχαις παιδοποιήσας,*<br>*μυστικῶς ἐστήριξέ σοι κλίμακα*[98]<br>*πρακτικῆς, ψυχή μου, ἀναβάσεως,*<br>*τοὺς παῖδας ὡς βάθρα, τὰς βάσεις ὡς ἀναβάσεις*<br>*πανσόφως ὑποθέμενος.* | 10. Ὁ μεγάλος Πατριάρχης Ἰακὼβ μὲ τὸ νὰ γεννήσει τοὺς δώδεκα Πατριάρχες, τὰ παιδιά του,<br>ἔστησε μυστικὰ γιὰ σένα, ψυχή μου,<br>σκάλα γιὰ ν᾽ ἀνεβαίνεις στὴν πρακτικὴ ἀρετή·<br>τὰ παιδιὰ γιὰ σκαλοπάτια, τὶς πατημασιὲς σὰν πολὺ σοφὰ ὑποδεικνύοντας. |
| *11. Ἠσαῦ τὸν μεμισημένον*[99]<br>*ζηλοῦσα, ψυχή, ἀπέδου τῷ πτερνιστῇ σου*<br>*τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια,*<br>*καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας,*<br>*καὶ δὶς ἐπτερνίσθης, ἀθλία, πράξει καὶ γνώσει·*<br>*διὸ νῦν μετανόησον.* | 11. Τὸν μισημένο Ἠσαῦ, ψυχή μου,<br>θέλοντας νὰ μιμηθεῖς, πρόσφερες σ᾽ αὐτὸν ποὺ σὲ τὰ ἀρχικὰ ὡραῖα πρωτοτόκια.<br>Στερήθηκες τὴν πατρικὴ εὐλογία.<br>Δυὸ φορές, ἄθλια, ξεγελάστηκες, στὴν πράξη καὶ<br>Γι᾽ αὐτὸ τώρα μετανόησε. |
| *12. Ἐδὼμ ὁ Ἠσαῦ ἐκλήθη*[100]<br>*δι᾽ ἄκραν θηλυμανίας ἐπιμιξίαν·*<br>*ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος*<br>*καὶ ταῖς ἡδοναῖς κατασπιλούμενος,*<br>*Ἐδὼμ ὠνομάσθη, ὃ λέγεται θερμασία* | 12. Ἐδὼμ ὁ Ἠσαῦ ὀνομάστηκε<br>γιὰ τὴ μανιώδη προσκόλλησή του στὶς γυναῖκες.<br>Διότι μὲ τὸ νὰ καίγεται συνεχῶς ἀπ᾽ τὴ σαρκικὴ<br>καὶ νὰ λερώνεται ἀπ᾽ τὶς ἡδονὲς [ἐπιθυμία<br>ὀνομάστηκε Ἐδώμ, ποὺ σημαίνει πύρωση |

[98] *Γεν.* 28,12*: «καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς».*

[99] *Μαλ.* 1,3*: «τὸν δὲ Ἠσαῦ ἐμίσησα καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου;», Γεν.* 25,29-34*: «καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ κοιλίᾳ αὐτῆς.* [25] *ἐξῆλθε δὲ ὁ πρωτότοκος πυρράκης, ὅλος ὡσεὶ δορὰ δασύς· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἡσαῦ.* [26] *καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἡσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς Ρεβέκκα.* [27] *Ηὐξήθησαν δὲ οἱ νεανίσκοι, καὶ ἦν Ἡσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος, Ἰακὼβ δὲ ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν.* [28] *ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ· Ρεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ.* [29] *ἥψησε δὲ Ἰακὼβ ἕψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων,* [30] *καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· γεῦσόν με ἀπὸ τοῦ ἑψήματος τοῦ πυρροῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ.* [31] *εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ· ἀπόδου μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί.* [32] *καὶ εἶπεν Ἡσαῦ· ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια;* [33] *καὶ εἶπεν αὐτῷ Ἰακώβ· ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ· ἀπέδοτο δὲ Ἡσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ.* [34] *Ἰακὼβ δὲ ἔδωκε τῷ Ἡσαῦ ἄρτον καὶ ἕψημα φακοῦ, καὶ ἔφαγε καὶ ἔπιε καὶ ἀναστὰς ᾤχετο· καὶ ἐφαύλισεν Ἡσαῦ τὰ πρωτοτόκια» καί Γεν.* 27,36*: «καὶ εἶπε· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου· καὶ εἶπεν Ἡσαῦ τῷ πατρὶ αὐτοῦ· οὐχ ὑπελίπου μοι εὐλογίαν, πάτερ;».*

[100] *Γεν.* 25,30*: «καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· γεῦσόν με ἀπὸ τοῦ ἑψήματος τοῦ πυρροῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ».*

*ψυχῆς φιλαμαρτήμονος.*

ψυχῆς ποὺ ρέπει πρὸς τὴν ἁμαρτία.

*13. Ἰὼβ τὸν ἐπὶ κοπρίας*[101]
*ἀκούσασα, ὦ ψυχή μου, δικαιωθέντα,*
*τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας,*
*τὸ στερρὸν οὐκ ἔσχες τῆς προθέσεως*
*ἐν πᾶσιν, οἷς ἔγνως, οἷς οἶδας, οἷς ἐπειράσθης,*
*ἀλλ᾽ ὤφθης ἀκαρτέρητος.*

13. Ἂν καὶ ἄκουσες, ψυχή μου, ὅτι δικαιώθηκε
ὁ Ἰώβ, ποὺ ᾽χε καταντήσει νὰ κάθεται στὴν
κοπριὰ δὲν ζήλεψες τὴν ἀνδρεία του.
Δὲν ἀπόχτησες τὴν πρόθεσή του τὴν ἀκλόνητη
σ᾽ ὅλα ὅσα ἔμαθες καὶ γνώρισες καὶ δοκιμάστηκες.
Ἀντίθετα, φάνηκες νὰ μὴν ἔχεις καρτερία.

*14. Ὁ πρότερον ἐπὶ θρόνου*
*γυμνὸς νῦν ἐπὶ κοπρίας καθηλκωμένος*[102]*·*
*ὁ πολὺς ἐν τέκνοις καὶ περίβλεπτος,*
*ἄπαις καὶ φερέοικος αἰφνίδιον·*
*παλάτιον γὰρ τὴν κοπρίαν, καὶ μαργαρίτας*
*τὰ ἕλκη ἐλογίζετο.*

14. Ἐκεῖνος ποὺ πρωτύτερα καθότανε σὲ θρόνο,
τώρα γυμνὸς στὴν κοπριὰ καὶ καταπληγωμένος!
Ἐκεῖνος ποὺ ᾽χε πολλὰ παιδιὰ καὶ τ᾽ ὄνομά του ἦταν [μεγάλο,
ἔμεινε ξαφνικὰ χωρὶς παιδιὰ καὶ σπίτι!
Γιὰ παλάτι τὴν κοπριὰ καὶ γιὰ μαργαριτάρια
εἶχε τὶς πληγές.

*15. Βασίλειον τὴν ἀξίαν,*
*διάδημα καὶ πορφύραν ἠμφιεσμένος,*
*πολυκτήμων ἄνθρωπος καὶ δίκαιος,*
*πλούτῳ ἐπιβρίθων καὶ βοσκήμασιν*
*ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν, τὴν βασιλείαν*
*πτωχεύσας ἀπεκείρατο.*

15. Μὲ βασιλικὴ ἀξία,
ντυμένος στέμμα καὶ πορφύρα·
ἄνθρωπος πλούσιος καὶ δίκαιος,
γεμάτος ἀγαθὰ καὶ ζωντανά,
ξαφνικὰ φτώχυνε χάνοντας τὰ πλούτη,
τὴ δόξα καὶ τὴ βασιλεία κι ἔκοψε τὰ μαλλιά του.

*16. Εἰ δίκαιος ἦν ἐκεῖνος*
*καὶ ἄμεμπτος παρὰ πάντας*[103]*, καὶ οὐκ ἀπέδρα*
*τὰ τοῦ πλάνου ἔνεδρα καὶ σκάμματα·*
*σὺ φιλαμαρτήμων οὖσα, τάλαινα*
*ψυχή, τί ποιήσεις, ἐάν τι τῶν ἀδοκήτων*
*συμβῇ ἐπενεχθῆναί σοι;*

16. Ἂν ἐκεῖνος ποὺ ἦταν δίκαιος
καὶ μέσα σ᾽ ὅλους τοὺς ἀνθρώπους ὁ πιὸ ἄμωμος,
ὅμως δὲν διέφυγε τὶς παγίδες καὶ τοὺς λάκκους τοῦ
σύ, ταλαίπωρη ψυχή, ποὺ ἀγαπᾶς [διαβόλου·
τί θὰ κάνεις, ἂν συμβεῖ νὰ σὲ βρεῖ [τὴν
ἁμαρτία, ἀπροσδόκητα καμιὰ συμφορά;

*17. Τὸ σῶμα κατερρυπώθην,*

17. Ὁλάκερο τὸ σῶμα ἀτίμασα!

---

[101] Ἰώβ 2,8: *«καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως».*

[102] Ἰώβ 2,7-8: *«Ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ προσώπου Κυρίου καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. [8] καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως».*

[103] Ἰώβ 1,1: *«Ἄνθρωπος τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος».*

*τὸ πνεῦμα κατεσπιλώθην, ὅλος ἡλκώθην·*
*ἀλλ᾽ ὡς ἰατρός, Χριστέ, ἀμφότερα*
*διὰ μετανοίας μοι θεράπευσον,*
*ἀπόλουσον, κάθαρον, πλῦνον· δεῖξον*
*χιόνος,*
*Σωτήρ μου, καθαρώτερον.*

Τὸ πνεῦμα κατασπίλωσα! Ὁλόκληρος γέμισα
πληγές!
Ἀλλὰ σὰν γιατρός, Χριστέ μου, καὶ τὰ δυὸ
μὲ τὴ μετάνοια γιάτρεψὲ τα.
Καθάρισε! Πλύνε! Κάνε με κι ἀπ᾽ τὸ χιόνι,
Σωτῆρα μου, πιὸ καθαρό!

*18. Τὸ Σῶμά σου καὶ τὸ Αἷμα*
*σταυρούμενος ὑπὲρ πάντων ἔθηκας,*
*Λόγε·*
*τὸ μὲν Σῶμα, ἵνα ἀναπλάσῃς με,*
*τὸ δὲ Αἷμα, ἵνα ἀποπλύνῃς με·*
*τὸ πνεῦμα παρέδωκας, ἵνα ἐμὲ προσάξῃς,*
*Χριστέ, τῷ σῷ Γεννήτορι*[104]*.*

18. Τὸ σῶμα καὶ τὸ αἷμα Σου,
Λόγε τοῦ Θεοῦ, θυσίασες, μὲ τὸ νὰ σταυρωθεῖς,
γιὰ
Τὸ σῶμα γιὰ νὰ μὲ ἀναπλάσεις. [χάρη ὅλων!
Τὸ αἷμα γιὰ νὰ μὲ καθαρίσεις.
Καὶ τὸ πνεῦμα Σου παρέδωσες, Χριστέ,
γιὰ νὰ μὲ ὁδηγήσεις στὸν Πατέρα Σου.

*19. Εἰργάσω τὴν σωτηρίαν*
*ἐν μέσῳ τῆς γῆς, ὁ Κτίστης*[105]*, ἵνα*
*σωθῶμεν·*
*ἑκουσίως ξύλῳ ἀνεσταύρωσαι·*
*ἡ Ἐδὲμ κλεισθεῖσα ἀνεῴγνυτο·*
*τὰ ἄνω, τὰ κάτω, ἡ κτίσις, τὰ ἔθνη πάντα*
*σωθέντα προσκυνοῦσί σε.*

19. Ἔφερες τὴ σωτηρία Σύ, ὁ Κτίστης,
φανερὰ στὸ κέντρο τῆς γῆς, τὴν Ἱερουσαλήμ, γιὰ
νὰ
Ἑκούσια σταυρώθηκες πάνω στὸ ξύλο!
[σωθοῦμε.
Ἡ Ἐδέμ, ποὺ ᾽ταν κλεισμένη, ἀνοίχτηκε.
Τὰ οὐράνια, τὰ ἐπίγεια, ἡ κτίση, ὅλα τὰ ἔθνη
σώθηκαν καὶ Σὲ προσκυνοῦν.

*20. Γενέσθω μοι κολυμβήθρα*
*τὸ Αἷμα τὸ ἐκ πλευρᾶς σου,*
*ἅμα καὶ πόμα, τὸ πηγάσαν ὕδωρ τῆς*
*ἀφέσεως,*
*ἵνα ἑκατέρωθεν καθαίρωμαι,*
*χριόμενος, πίνων, ὡς χρῖσμα καὶ πόμα*[106]*,*
*Λόγε,*

20. Ἂς μοῦ γίνει κολυμβήθρα
καὶ συνάμα πόμα τὸ αἷμα ποὺ ξεπήδησε ἀπ᾽ τὴν
καὶ ἔγινε πηγὴ τοῦ νεροῦ ποὺ χαρίζει [πλευρά
Σου
Γιὰ νὰ καθαρίζομαι κι ἀπ᾽ τὰ δυό, [τὴν
ἄφεση.
χριζόμενος γιὰ χρίσμα καὶ πίνοντας γιὰ πόμα,

---

[104] *Λουκ.* 22,19-20*: «καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.* [20] *ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον» καί Ματθ.* 26,26-28*: «Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου·* [27] *καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες·* [28] *τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν».*

[105] *Ψαλμ.* 73,12*: «ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς».*

[106] *Ἰω.* 19,34*: «ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ».*

*τὰ ζωηρά σου λόγια.*

τὰ ζωηφόρα λόγια Σου. [Λόγε τοῦ Θεοῦ,

*21. Γυμνός εἰμι τοῦ Νυμφῶνος,*
*γυμνός εἰμι καὶ τοῦ γάμου, ἅμα καὶ δείπνου*[107]*·*
*ἡ λαμπὰς ἐσβέσθη ὡς ἀνέλαιος·*
*ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι·*
*τὸ δεῖπνον ἐβρώθη· ἐγὼ δὲ χεῖρας καὶ πόδας*
*δεθεὶς ἔξω ἀπέρριμμαι*[108]*.*

21. Εἶμαι γυμνὸς γιὰ νὰ εἰσέλθω στὸν νυμφώνα!
Εἶμαι γυμνὸς γιὰ νὰ περάσω στὸν γάμο καὶ τὸ δεῖπνο!
Τὸ λυχνάρι μου σβήστηκε μιὰ καὶ δὲν εἶχε λάδι.
Ἔκλεισε ὁ θάλαμος ὁ νυφικὸς τὴν ὥρα ποὺ κοιμόμουν!
Τὸ δεῖπνο τέλειωσε. Κι ἐμένα, ἀφοῦ μοῦ δέσανε χέρια καὶ πόδια, μὲ πέταξαν ἔξω.

*22. Κρατῆρα ἡ Ἐκκλησία*
*ἐκτήσατο τὴν Πλευράν σου τὴν ζωηφόρον,*
*ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἐξέβλυσε*
*κρουνὸς τῆς ἀφέσεως καὶ γνώσεως,*
*εἰς τύπον τῆς πάλαι, τῆς νέας, τῶν δύω ἅμα*
*Διαθηκῶν, Σωτὴρ ἡμῶν*[109]*.*

22. Κρατήρα ἡ Ἐκκλησία
ἀπόχτησε τὴ ζωηφόρα Σου πλευρά,
ἀπ᾽ τὴν ὁποία ξεπήδησε γιὰ μᾶς ὁ διπλὸς
κρουνὸς τῆς ἀφέσεως καὶ τῆς γνώσεως,
εἰς τύπον τῆς παλιᾶς καὶ τῆς νέας, καὶ τῶν δυὸ μαζί,
Σωτήρα μας, Διαθηκῶν.

*23. Ὁ χρόνος ὁ τῆς ζωῆς μου*
*ὀλίγος καὶ πλήρης πόνων καὶ πονηρίας·*
*ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε*
*καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·*
*μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου·*
*Σωτήρ, αὐτός με οἴκτειρον.*

23. Ὁ χρόνος τῆς ζωῆς μου εἶναι λίγος
καὶ γεμάτος κόπους καὶ ἔργα πονηρά.
Γι᾽ αὐτὸ σὲ ὥρα μετανοίας πάρε με
καὶ σὲ κατάσταση ἐπιγνώσεως κάλεσέ με.
Μὴν ἐπιτρέψεις νὰ γίνω ἀπόχτημα καὶ τροφὴ τοῦ [διαβόλου.
Σωτήρα, Σὺ λυπήσου με.

---

[107] *Ματθ.* 25,1-10: *«Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. ² πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. ³ αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· ⁴ αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. ⁵ χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. ⁶ μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. ⁷ τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. ⁸ αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ⁹ ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. ¹⁰ ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα».*

[108] *Ματθ.* 22,13: *«τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων».*

[109] *Ἰω.* 19,34: *«ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ».*

*24. Ὑψήγορος νῦν ὑπάρχω,*
*θρασὺς δὲ καὶ τὴν καρδίαν εἰκῇ καὶ μάτην·*
*μὴ τῷ Φαρισαίῳ συγκαταδικάσῃς με,*
*μᾶλλον τοῦ Τελώνου τὴν ταπείνωσιν*
*παράσχου μοι, μόνε Οἰκτίρμον, δικαιοκρίτα,*
*καὶ τούτῳ συναρίθμησον*[110].

24. Εἶμαι ἀλαζόνας
καὶ στὴν καρδιὰ αὐθάδης χωρὶς κανένα λόγο.
Μὴ μὲ καταδικάσεις μαζὶ μὲ τὸν Φαρισαῖο.
Δῶσ᾽ μου τοῦ Τελώνη τὴν ταπείνωση,
μόνε Φιλάνθρωπε καὶ δίκαιε Κριτή,
καὶ μαζὶ μ᾽ αὐτὸν ἀρίθμησέ με.

*25. Ἐξήμαρτον ἐνυβρίσας*
*τὸ σκεῦος τὸ τῆς σαρκός μου, οἶδα, Οἰκτίρμον·*
*ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε*
*καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·*
*μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου·*
*Σωτήρ, αὐτός με οἴκτειρον.*

25. Ἁμάρτησα καὶ πρόσβαλα μὲ πράξεις ἀτιμωτικὲς
τὸ σκεῦος τοῦ σώματός μου. Τὸ γνωρίζω, Εὔσπλαχνε.
Γι᾽ αὐτὸ σὲ ὥρα μετανοίας πάρε με
καὶ σὲ κατάσταση ἐπιγνώσεως κάλεσέ με.
Μὴν ἐπιτρέψεις νὰ γίνω ἀπόχτημα καὶ τροφὴ τοῦ [διαβόλου.
Σωτήρα, Σὺ λυπήσου με.

*26. Αὐτείδωλον ἐγενόμην,*
*τοῖς πάθεσι τὴν ψυχήν μου βλάπτων, Οἰκτίρμον·*
*ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε,*
*καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·*
*μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου·*
*Σωτήρ, αὐτός με οἴκτειρον.*

26. Ἔκανα ὁ ἴδιος τὸν ἑαυτό μου εἴδωλο,
βλάπτοντας τὴν ψυχή μου μὲ τὰ πάθη, Πολυέλεε.
Γι᾽ αὐτὸ σὲ ὥρα μετανοίας πάρε με
καὶ σὲ κατάσταση ἐπιγνώσεως κάλεσέ με.
Μὴν ἐπιτρέψεις νὰ γίνω ἀπόχτημα καὶ τροφὴ τοῦ [διαβόλου.
Σωτήρα, Σὺ λυπήσου με.

*27. Οὐκ ἤκουσα τῆς φωνῆς σου,*
*παρήκουσα τῆς γραφῆς σου, τοῦ Νομοθέτου·*
*ἀλλ᾽ ἐν μετανοίᾳ με παράλαβε,*
*καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·*
*μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου·*
*Σωτήρ, αὐτός με οἴκτειρον.*

27. Δὲν ἄκουσα ποὺ μοῦ μιλοῦσες,
δὲν ἔδωσα προσοχὴ στὴ Γραφή Σου, Νομοθέτη.
Γι᾽ αὐτὸ σὲ ὥρα μετανοίας πάρε με
καὶ σὲ κατάσταση ἐπιγνώσεως κάλεσέ με.
Μὴν ἐπιτρέψεις νὰ γίνω ἀπόχτημα καὶ τροφὴ τοῦ [διαβόλου.
Σωτήρα, Σὺ λυπήσου με.

---

110 *Λουκ.* 18,10-13*: «ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. [11] ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ὁ Θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· [12] νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. [13] καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».*

Δόξα.

*28. Ἀμέριστον τῇ οὐσίᾳ,*
*ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε*
*τὴν Τριαδικὴν μίαν Θεότητα,*
*ὡς ὁμοβασίλειον καὶ σύνθρονον·*
*βοῶ σοι τὸ Ἆισμα τὸ μέγα, τὸ ἐν ὑψίστοις*
*τρισσῶς ὑμνολογούμενον.*

Δόξα ἀνήκει στὸν Πατέρα...

28. Ἀδιαίρετη στὴν οὐσία
κι ἀσύγχυτη στὰ πρόσωπα
Σὲ θεολογῶ τὴ μία καὶ Τριαδικὴ Θεότητα,
μὲ μία βασιλεία κι ἕναν θρόνο.
Σοῦ φωνάζω δυνατὰ τὸ μεγάλο ἄσμα, ποὺ στὰ
τριπλὰ ψάλλεται. [ὕψιστα μέρη τ᾿ οὐρανοῦ

Καὶ νῦν. Θεοτοκίον.

*29. Καὶ τίκτεις, καὶ παρθενεύεις,*
*καὶ μένεις δι᾿ ἀμφοτέρων φύσει*
*Παρθένος·*
*ὁ τεχθεὶς καινίζει νόμους φύσεως,*
*ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα.*
*Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις·*
*ποιεῖ γὰρ ὅσα βούλεται.*

Καὶ τώρα... Θεοτοκίο.

29. Καὶ γεννᾶς καὶ διατηρεῖσαι παρθένος
καὶ ἐξακολουθεῖς νὰ μένεις μέχρι τέλος
Παρθένος.
Αὐτὸς ποὺ γεννήθηκε, καινουργώνει τοὺς νόμους
[τῆς φύσεως.
Ἡ κοιλιὰ γεννᾶ χωρὶς νὰ ἔχει τὰ φαινόμενα
[τῆς λοχείας.
Ὅπου θέλει ὁ Θεός, ἡ τάξη τῶν φυσικῶν νόμων
[νικιέται.
Διότι Ἐκεῖνος κάνει ὅσα θέλει.

Ὠιδὴ ε΄. Ὁ Εἱρμός.

*«Ἐκ νυκτὸς ὀρθρίζοντα, Φιλάνθρωπε[111],*
*» φώτισον, δέομαι,*
*» καὶ ὁδήγησον κἀμέ,*
*» ἐν τοῖς προστάγμασί σου·*
*» καὶ δίδαξόν με, Σωτήρ,*
*» ποιεῖν τὸ θέλημά σου.*

Ὠδὴ ε΄. Εἱρμός.

Ἀπ᾿ τὰ βαθιὰ χαράματα ξυπνῶ, Φιλάνθρωπε,
καὶ παρακαλῶ: Φώτισε
καὶ ὁδήγησέ με
στὴν τήρηση τῶν ἐντολῶν Σου.
Καὶ δίδαξέ με, Σωτήρα,
νὰ κάνω τὸ θέλημά Σου.

*1. Ἐν νυκτὶ τὸν βίον μου διῆλθον ἀεί·*
*σκότος γὰρ γέγονε*
*καὶ βαθεῖά μοι ἀχλὺς*
*ἡ νὺξ τῆς ἁμαρτίας·*
*ἀλλ᾿ ὡς ἡμέρας υἱόν,*
*Σωτήρ, ἀνάδειξόν με[112].*

1. Στὴ νύχτα μέσα πάντοτε πέρασα τὴ ζωή μου.
Σκοτάδι μοῦ ᾿φερε
καὶ βαθιὰ θολούρα
ἡ ἁμαρτία, ποὺ μοιάζει μὲ τὴ νύχτα.
Ἀλλὰ γιὸ τῆς ἡμέρας
Σύ, Σωτήρα, ἀνάδειξέ με.

[111] Ἡσ. 26,9: *«ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα μου πρός σε, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς».*

[112] Α΄ Θεσσ. 5,5: *«πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους».*

*2. Τὸν Ρουβὶμ[113] μιμούμενος ὁ τάλας ἐγὼ*
*ἔπραξα ἄθεσμον*
*καὶ παράνομον βουλὴν*
*κατὰ Θεοῦ Ὑψίστου,*
*μιάνας κοίτην ἐμὴν*
*ὡς τοῦ πατρὸς ἐκεῖνος.*

2. Τὸν Ρουβὶμ μιμήθηκα ὁ ταλαίπωρος.
Διέπραξα ἔργο
παράνομο κι ἁμαρτωλὸ
ἐνάντια στὸν ὕψιστο Θεό.
Ἀτίμασα τὸ κρεβάτι μου,
ὅπως ἐκεῖνος τοῦ πατέρα του.

*3. Ἐξομολογοῦμαί σοι, Χριστὲ Βασιλεῦ·*
*Ἥμαρτον, ἥμαρτον,*
*ὡς οἱ πρὶν τοῦ Ἰωσὴφ*
*ἀδελφοὶ πεπρακότες[114]*
*τὸν τῆς ἁγνείας καρπὸν*
*καὶ τὸν τῆς σωφροσύνης.*

3. Χριστὲ βασιλιά, ἐξομολογοῦμαι σὲ Σένα:
Ἁμάρτησα! Ἁμάρτησα
ὅπως τ᾽ ἀδέρφια τοῦ Ἰωσήφ,
ποὺ πούλησαν παλιότερα
τῆς ἁγνότητας καὶ
τῆς σωφροσύνης τὸ τέκνο.

*4. Ὑπὸ τῶν συγγόνων ἡ δικαία ψυχὴ*
*δέδοτο· πέπρατο*
*εἰς δουλείαν ὁ γλυκύς,*
*εἰς τύπον τοῦ Κυρίου[115]·*
*αὐτὴ δὲ ὅλη, ψυχή,*
*ἐπράθης τοῖς κακοῖς σου.*

4. Ἀπ᾽ τ᾽ ἀδέρφια του ἡ δίκαιη ψυχή,
ὁ γλυκὸς Ἰωσήφ, δόθηκε·
πουλήθηκε σκλάβος
προεικονίζοντας τὸν Κύριο.
Καὶ σύ, ψυχή μου, ὁλάκερη
σκλαβώθηκες στὰ πάθη σου.

*5. Ἰωσὴφ τὸν δίκαιον, καὶ σώφρονα νοῦν[116]*
*μίμησαι, τάλαινα*
*καὶ ἀδόκιμε ψυχή,*

5. Τὸν δίκαιο Ἰωσὴφ μὲ τὸν σώφρονα νοῦ
νὰ μιμηθεῖς, ταλαίπωρη
κι ἀκατάστατη ψυχή μου.

---

[113] *Γεν.* 35,21*: «ἐγένετο δέ ἡνίκα κατῴκησεν Ἰσραὴλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύθη Ρουβὴν καὶ ἐκοιμήθη μετὰ Βαλλᾶς τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ Ἰακὼβ· καὶ ἤκουσεν Ἰσραήλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ».*

[114] *Γεν.* 37,28*: «καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι ἔμποροι, καὶ ἐξείλκυσαν καὶ ἀνεβίβασαν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου καὶ ἀπέδοντο τὸν Ἰωσὴφ τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν, καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον».*

[115] Ὁ.π.

[116] *Γεν.* 39,7-13*: «καὶ ἐγένετο μετὰ τὰ ρήματα ταῦτα καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ἰωσὴφ καὶ εἶπε· κοιμήθητι μετ᾽ ἐμοῦ. [8] ὁ δὲ οὐκ ἤθελεν, εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ· εἰ ὁ κύριός μου οὐ γινώσκει δι᾽ ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ἔδωκεν εἰς τὰς χεῖράς μου [9] καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐδὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ᾽ ἐμοῦ οὐδὲν πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ρῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; [10] ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουεν αὐτῇ καθεύδειν μετ᾽ αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ. [11] ἐγένετο δὲ τοιαύτη τις ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐδεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω, [12] καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων λέγουσα· κοιμήθητι μετ᾽ ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω. [13] καὶ ἐγένετο ὡς εἶδεν, ὅτι καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω».*

*καὶ μὴ ἀκολασταίνου*
*ταῖς παραλόγοις ὁρμαῖς*
*ἀεὶ παρανομοῦσα.*

Πάψε ν᾿ ἁμαρτάνεις,
καταπατώντας συνεχῶς τὸν νόμο τοῦ Θεοῦ
μὲ τὶς αἰσχρὲς ὁρμές.

*6. Εἰ καὶ λάκκῳ ᾤκησέ ποτε Ἰωσήφ*[117]*,*
*Δέσποτα Κύριε,*
*ἀλλ᾿ εἰς τύπον τῆς Ταφῆς*
*καὶ τῆς Ἐγέρσεώς σου·*
*ἐγὼ δὲ τί σοί ποτε*
*τοιοῦτο προσενέγκω;*

6. Στὸν λάκκο μέσα, Δέσποτα Κύριε, κάποτε
κατοίκησε ὁ Ἰωσήφ,
προτυπώνοντας ἔτσι τὴν ταφὴ
καὶ τὴν ἀνάστασή Σου.
Ἐγὼ ὅμως τί ἀνάλογο
θὰ μπορέσω κάποτε νὰ Σοῦ προσφέρω;

*7. Τοῦ Μωσέως ἤκουσας τὴν θίβην, ψυχή,*
*ὕδασι, κύμασι*
*φερομένην ποταμοῦ,*
*ὡς ἐν θαλάμῳ πάλαι,*
*φυγοῦσαν δρᾶμα πικρὸν*
*βουλῆς Φαραωνίτου*[118]*.*

7. Τοῦ Μωυσῆ τὸ καλάθι, ψυχή μου, ἄκουσες
ὅτι παλιὰ περιφερόταν πάνω
στὰ νερὰ καὶ τὰ κύματα τοῦ ποταμοῦ,
σὰν νὰ ᾿τανε μέσα σὲ θάλαμο.
Ἔτσι ξέφυγε τὴ σκληρὴ μεταχείριση,
ποὺ ὅριζε ἡ ἀπόφαση τοῦ Φαραώ.

*8. Εἰ τὰς μαίας ἤκουσας κτεινούσας ποτὲ*[119]
*ἄνηβον, τάλαινα,*
*τὴν ἀρρενωπόν, ψυχή,*
*τῆς σωφροσύνης πρᾶξιν·*
*νῦν ὡς ὁ μέγας Μωσῆς*
*τιθηνοῦ τὴν σοφίαν.*

8. Ἂν εἶχες ἀκούσει, ταλαίπωρη ψυχή,
ὅτι οἱ μαῖες κάποτε σκότωναν σὲ νηπιακὴ ἡλικία
τ᾿ ἀγόρια ποὺ ᾿ταν καρποὶ νόμιμου γάμου,
(θὰ εἶχες πρόφαση γιὰ τὶς κακές σου πράξεις).
Ἀλλὰ τώρα, ὅπως ὁ μεγάλος Μωυσῆς,
ἀγάπησε σὰν παιδί σου τὴ σοφία.

*9. Ὡς Μωσῆς ὁ μέγας τὸν Αἰγύπτιον νοῦν*
*πλήξασα, τάλαινα,*
*οὐκ ἀπέκτεινας, ψυχή·*
*καὶ πῶς οἰκήσεις, λέγε,*
*τὴν ἔρημον τῶν παθῶν*
*διὰ τῆς μετανοίας;*

9. Χτυπώντας, ταλαίπωρη ψυχή, δὲν σκότωσες
τὸ φιλόκοσμο φρόνημα,
ὅπως ὁ μεγάλος Μωυσῆς τὸν Αἰγύπτιο.
Λέγε, λοιπόν, πῶς θὰ μπορέσεις νὰ φτάσεις ἔτσι τὴν ἀπάθεια
μὲ τὴ μετάνοια;

---

[117] *Γεν.* 37,22-24*: «εἶπε δὲ αὐτοῖς Ρουβήν· μὴ ἐκχέητε αἷμα· ἐμβάλλετε αὐτὸν εἰς ἕνα τῶν λάκκων τούτων τῶν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ· ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ.* [23] *ἐγένετο δὲ ἡνίκα ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν* [24] *καὶ λαβόντες αὐτόν ἔρριψαν εἰς τὸν λάκκον· ὁ δὲ λάκκος κενός, ὕδωρ οὐκ εἶχεν».*

[118] *Ἔξοδ.* 2,3: *«ἐπεὶ δὲ οὐκ ἠδύναντο αὐτὸ ἔτι κρύπτειν, ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ θῖβιν καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλε τὸ παιδίον εἰς αὐτὴν καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν».*

[119] *Ἔξοδ.* 1,15*: «Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων· τῇ μιᾷ αὐτῶν ὄνομα Σεπφώρα, καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά».*

*10. Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς[120]·*
*δεῦρο δὴ μίμησαι*
*τὴν αὐτοῦ διαγωγήν,*
*ἵνα καὶ τῆς ἐν βάτῳ*
*θεοφανείας, ψυχή,*
*ἐν θεωρίᾳ γένῃ.*

10. Τὶς ἐρήμους εἶχε γιὰ κατοικία ὁ μεγάλος Μωυσῆς.
Ἐμπρός, λοιπόν, μιμήσου κείνου τὸν τρόπο τῆς ζωῆς, ψυχή μου, γιὰ ν᾽ ἀξιωθεῖς νὰ δεῖς,
ὅπως ἐκεῖνος, τὴ θεωρία τοῦ Θεοῦ, ὅταν φανερώθηκε στὴ βάτο.

*11. Τὴν Μωσέως ράβδον εἰκονίζου, ψυχή[121],*
*πλήττουσαν θάλασσαν*
*καὶ πηγνύουσαν βυθὸν*
*τύπῳ Σταυροῦ τοῦ θείου,*
*δι᾽ οὗ δυνήσῃ καὶ σὺ*
*μεγάλα ἐκτελέσαι.*

11. Ψυχή μου, νὰ μοιάζεις
μὲ τὸ ραβδὶ τοῦ Μωυσῆ, ποὺ χτύπησε
τὴ θάλασσα σὲ τύπο τοῦ Τιμίου Σταυροῦ
καὶ τὴν ἔκανε ξηρά.
Μ᾽ αὐτὸν θὰ μπορέσεις καὶ σὺ
μεγάλα θαύματα νὰ κάνεις.

*12. Ἀαρὼν[122] προσέφερε τὸ πῦρ τῷ Θεῷ*
*ἄμωμον, ἄδολον·*
*ἀλλ᾽ Ὀφνεὶ καὶ Φινεὲς*
*ὡς σύ, ψυχή, προσῆγον*
*ἀλλότριον τῷ Θεῷ,*
*ρερυπωμένον βίον.*

12. Ὁ Ἀαρὼν πρόσφερε στὸν Θεὸ τὴν ἄμωμη
καὶ καθαρὴ φωτιά.
Ἀλλὰ ὁ Ὀφνεὶ κι ὁ Φινεές,
ψυχή μου, ἔδειχναν, ὅπως καὶ σύ,
ξένο πρὸς τὸν Θεὸ
καὶ ἀκάθαρτο βίο.

*13. Ὡς βαρὺς τῇ γνώμῃ Φαραὼ τῷ πικρῷ*
*γέγονα, Δέσποτα,*
*Ἰαννὴς καὶ Ἰαμβρής[123],*
*τὴν ψυχὴν καὶ τὸ σῶμα,*
*καὶ ὑποβρύχιον νοῦν·*
*ἀλλὰ βοήθησόν μοι.*

13. Ὅπως ὁ Ἰαννὴς καὶ ὁ Ἰαμβρὴς
στὴ συμβουλή τους πρὸς τὸν κακὸ Φαραώ,
ἔτσι κι ἐγὼ ἔγινα, Δέσποτα, βαρὺς
στὴν ψυχὴ καὶ τὸ σῶμα
καὶ ὁ νοῦς μου βυθίστηκε.
Γι᾽ αὐτὸ βοήθησέ με.

*14. Τῷ πηλῷ συμπέφυρμαι ὁ τάλας τὸν νοῦν·*

14. Ἔσυρα ὁ δυστυχὴς τὸν νοῦ μου μὲς στὴ λάσπη!
Σὲ ἱκετεύω, Δέσποτα:

---

[120] *Ἔξοδ. 3,1-2: «Καί Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθόρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως Μαδιὰμ καὶ ἤγαγε τὰ πρόβατα ὑπὸ τὴν ἔρημον καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρήβ. ² ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἐν πυρὶ φλογὸς ἐκ τοῦ βάτου, καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί, ὁ δὲ βάτος οὐ κατεκαίετο».*

[121] *Ἔξοδ. 14,16: «καὶ σὺ ἔπαρον τῇ ράβδῳ σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν καὶ ρῆξον αὐτήν, καὶ εἰσελθάτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν».*

[122] *Λε. 16,1: «Καί ἐλάλησε Κύριος πρὸς Μωυσῆν μετὰ τὸ τελευτῆσαι τοὺς δύο υἱοὺς Ἀαρὼν ἐν τῷ προσάγειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου καὶ ἐτελεύτησαν».*

[123] *Β΄ Τιμ. 3,8: «ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν».*

*πλῦνόν με, Δέσποτα,*
*τῷ λουτῆρι τῶν ἐμῶν*
*δακρύων, δέομαί σου,*
*τὴν τῆς σαρκός μου στολὴν*
*λευκάνας ὡς χιόνα*[124].

Πλύνε με
μὲ τὸ λουτρὸ τῶν δακρύων μου
καὶ κάνε λευκὴ σὰν τὸ χιόνι
τὴ στολὴ τῆς σάρκας μου.

*15. Ἐὰν ἐρευνήσω μου τὰ ἔργα, Σωτήρ,*
*ἅπαντα ἄνθρωπον*
*ὑπερβάντα ἐμαυτὸν*
*ὁρῶ ταῖς ἁμαρτίαις,*
*ὅτι ἐν γνώσει φρενῶν*
*ἥμαρτον, οὐκ ἀγνοίᾳ.*

15. Σωτήρα μου, ἂν ἐξετάσω τὰ ἔργα μου,
βλέπω τὸν ἑαυτό μου
νὰ ᾽χει ξεπεράσει στὶς ἁμαρτίες
ὅλους τοὺς ἄλλους ἀνθρώπους,
γιατὶ ἁμάρτησα ἔχοντας γνώση
καὶ ὄχι ἀπὸ ἄγνοια.

*16. Φεῖσαι, φεῖσαι, Κύριε, τοῦ πλάσματός σου·*
*ἥμαρτον, ἄνες μοι,*
*ὁ τῇ φύσει καθαρὸς*
*αὐτὸς ὑπάρχεις μόνος,*
*καὶ ἄλλος πλήν σου οὐδεὶς*
*ὑπάρχει ἔξω ῥύπου.*

16. Λυπήσου! Λυπήσου, Κύριε, τὸ πλάσμα Σου!
Ἁμάρτησα! Συγχώρεσέ με,
γιατὶ Σὺ εἶσαι ὁ μόνος
κι ἀπολύτως καθαρὸς
καὶ κανένας ἄλλος ἐκτὸς ἀπὸ Σένα
δὲν ὑπάρχει χωρὶς ρύπο.

*17. Δι᾽ ἐμέ, Θεὸς ὤν, ἐμορφώθης ἐμοί*[125]*·*
*ἔδειξας θαύματα*
*ἰασάμενος λεπροὺς*
*καὶ παραλύτους σφίγξας,*
*Αἱμόρρου στήσας, Σωτήρ,*
*ἁφῇ κρασπέδου ῥῦσιν.*

17. Γιὰ χάρη μου, ὄντας Θεός, πῆρες τὴ μορφή μου. Ἔκανες θαύματα.
Γιάτρεψες λεπροὺς καὶ στήριξες παραλύτους.
Καὶ τὸ αἷμα τῆς Αἱμορροούσας, Σωτήρα μου, [σταμάτησες,
ὅταν ἀκούμπησε τὴν ἄκρη τοῦ ἐνδύματός Σου.

*18. Τὴν Αἱμόρρουν*[126] *μίμησαι, ἀθλία ψυχή·*
*πρόσδραμε, κράτησον*
*τοῦ κρασπέδου τοῦ Χριστοῦ,*
*ἵνα ρυσθῇς μαστίγων,*
*ἀκούσῃς δὲ παρ᾽ αὐτοῦ·*
*Ἡ πίστις σου σέσωκέ σε.*

18. Τὴν Αἱμορροούσα γυναίκα μιμήσου, ἄθλια ψυχή.
Τρέξε καὶ πιάσε τὸ ἄκρο τοῦ ρούχου τοῦ Χριστοῦ
γιὰ νὰ λυτρωθεῖς ἀπ᾽ τὰ πάθη
καὶ ν᾽ ἀκούσεις ἀπ᾽ τὰ χείλη Του:
Ἡ πίστη σου σὲ ἔσωσε!

---

[124] Ψαλμ. 50,9: *«ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι».*

[125] *Φιλιπ.* 2,7: *«ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος» καί Ματθ.* 8,2-3. 9,2-7· 20-22.

[126] *Ματθ.* 9,20-22: *«Καὶ ἰδοὺ γυνή, αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ.* [21] *ἔλεγε γὰρ ἐν ἑαυτῇ, ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.* [22] *ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπε· θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης».*

*19. Τὴν χαμαὶ συγκύπτουσαν[127] μιμοῦ, ὦ ψυχή·*
*πρόσελθε, πρόσπεσον*
*τοῖς ποσὶ τοῦ Ἰησοῦ,*
*ἵνα σε ἀνορθώσῃ,*
*καὶ βηματίσεις ὀρθῶς,*
*τὰς τρίβους τοῦ Κυρίου.*

19. Τὴν καμπουριασμένη ἄρρωστη νὰ μιμηθεῖς,
Ἔλα καὶ πέσε [ψυχή μου.
στὰ πόδια τοῦ Ἰησοῦ,
γιὰ νὰ σὲ σηκώσει πάνω,
καὶ νὰ περπατήσεις σωστὰ
τὸν δρόμο τοῦ Κυρίου.

*20. Εἰ καὶ φρέαρ, Δέσποτα, ὑπάρχεις βαθύ,*
*βλῦσόν μοι νάματα*
*ἐξ ἀχράντων σου φλεβῶν,*
*ἵν᾽ ὡς ἡ Σαμαρεῖτις[128],*
*μηκέτι πίνων διψῶ·*
*ζωῆς γὰρ ῥεῖθρα βλύζεις.*

20. Σὺ εἶσαι τὸ βαθὺ πηγάδι, Δέσποτα.
Ἀνάβλυσέ μου νάματα
ἀπ᾽ τὶς φλέβες Σου τὶς ἄχραντες,
ὥστε πίνοντας, ὅπως ἡ Σαμαρείτιδα,
ποτὲ νὰ μὴ διψάσω.
Σὺ ἀναβλύζεις τὸ νερὸ τῆς αἰώνιας ζωῆς.

*21. Σιλωὰμ[129] γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε,*
*ἵνα νίψωμαι κἀγὼ*
*τὰς κόρας τῆς ψυχῆς μου*
*καὶ ἴδω σε νοερῶς*
*τὸ φῶς τὸ πρὸ αἰώνων.*

21. Κολυμβήθρα τοῦ Σιλωὰμ ἂς γίνουν τὰ δάκρυά μου, Δέσποτα Κύριε, γιὰ νὰ νίψω κι ἐγὼ
τὰ μάτια τῆς ψυχῆς μου καὶ νὰ μπορέσω ἔτσι
νοερὰ νὰ δῶ Σένα, τὸ φῶς τὸ προαιώνιο.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα...

*22. Σέ, Τριάς, δοξάζομεν, τὸν ἕνα Θεόν·*
*Ἅγιος, Ἅγιος,*
*Ἅγιος εἶ, ὁ Πατήρ,*
*ὁ Υἱὸς καὶ τὸ Πνεῦμα·*
*ἁπλῆ οὐσία, Μονὰς*
*ἀεὶ προσκυνουμένη.*

22. Σένα, Τριάδα, δοξάζουμε τὸν ἕνα Θεό.
Ἅγιος, Ἅγιος,
Ἅγιος εἶσαι ὁ Πατέρας,
ὁ Υἱὸς καὶ τὸ Πνεῦμα·
ἁπλὴ οὐσία, Μονάδα,
ποὺ πάντοτε Τὴν προσκυνοῦμε.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα... Θεοτοκίο.

---

[127] *Λουκ.* 13,11-13*: «καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ, καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακῦψαι εἰς τὸ παντελές.* [12] *ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου·* [13] *καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζε τὸν Θεόν».*

[128] *Ἰω.* 4,14*: «ὃς δι᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον».*

[129] *Ἰω.* 9,7*: «καὶ εἶπεν αὐτῷ· ὕπαγε νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων».*

*23. Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου,*
*ἄφθορε, ἄνανδρε*
*Μητροπάρθενε, Θεὸς*
*ὁ κτίσας τοὺς αἰῶνας,*
*καὶ ἥνωσεν ἑαυτῷ*
*τὴν τῶν ἀνθρώπων φύσιν.*

23. Κόρη, ποὺ δὲ γνώρισες φθορὰ τῆς παρθενίας
καὶ δὲν μητέρα καὶ συνάμα παρθένος, [ἔλαβες
πεῖρα ἄνδρα, ἀπὸ σένα ντύθηκε τὸ σῶμα μου ὁ
Θεός, ποὺ δημιούργησε τοὺς αἰῶνες
κι ἕνωσε στὸν ἑαυτό Του τὴ φύση τῶν ἀνθρώπων.

### Ὠιδὴ Ϛ΄. Ὁ Εἰρμός.

### Ὠδὴ στ΄. Εἱρμός.

*«Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου*[130]
*» πρὸς τὸν οἰκτίρμονα Θεόν,*
*» καὶ ἐπήκουσέ μου*
*» ἐξ Ἅιδου κατωτάτου,*
*» καὶ ἀνήγαγεν*
*» ἐκ φθορᾶς τὴν ζωήν μου.*

Φώναξα δυνατὰ μὲ ὅλη τὴν καρδιά μου
ἀπ᾽ τὰ κατώτατα μέρη τοῦ Ἅδη
πρὸς τὸν σπλαχνικὸ Θεὸ
καὶ μ᾽ ἄκουσε.
Κι ἔσωσε ἀνεβάζοντας
ἀπ᾽ τὴν ἄβυσσο τῆς καταστροφῆς τὴ ζωή μου.

*1. Τὰ δάκρυα, Σωτήρ, τῶν ὀμμάτων μου*
*καὶ τοὺς ἐκ βάθους στεναγμοὺς*
*καθαρῶς προσφέρω,*
*βοώσης τῆς καρδίας·*
*Ὁ Θεὸς ἡμάρτηκά σοι,*
*ἱλάσθητί μοι*[131]*.*

1. Σωτῆρα μου, Σοῦ προσφέρω μὲ εἰλικρίνεια
τὰ δάκρυα τῶν ματιῶν μου
καὶ τοὺς στεναγμοὺς ἀπ᾽ τὰ βάθη τῆς ψυχῆς,
φωνάζοντας δυνατὰ μέσ᾽ ἀπ᾽ τὴν καρδιά μου:
Ἁμάρτησα μπροστὰ στὰ μάτια Σου!
Συγχώρεσέ με!

*2. Ἐξένευσας, ψυχή, τοῦ Κυρίου σου,*
*ὥσπερ Δαθὰν καὶ Ἀβειρών*[132]*·*

2. Ψυχή μου, ἀποστράφηκες τὸν Κύριό σου,
ὅπως ὁ Δαθὰν κι ὁ Ἀβειρών.

---

[130] *Ἰων.* 2,3-7*: «καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου.* [4] *ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ διῆλθον.* [5] *καὶ ἐγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;* [6] *περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων.* [7] *κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ Κύριε ὁ Θεός μου».*

[131] *Λουκ.* 18,13*: «καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».*

[132] *Ἀριθ.* 16,27-33*: «καὶ ἀπέστησαν ἀπὸ τῆς σκηνῆς Κορὲ κύκλῳ· καὶ Δαθὰν καὶ Ἀβειρὼν ἐξῆλθον καὶ εἱστήκεισαν παρὰ τὰς θύρας τῶν σκηνῶν αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ ἡ ἀποσκευὴ αὐτῶν.* [28] *καὶ εἶπε Μωυσῆς· ἐν τούτῳ γνώσεσθε ὅτι Κύριος ἀπέστειλέ με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ·* [29] *εἰ κατὰ θάνατον πάντων ἀνθρώπων ἀποθανοῦνται οὗτοι, εἰ καὶ κατ' ἐπίσκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐτῶν, οὐχὶ Κύριος ἀπέσταλκέ με·* [30] *ἀλλ' ἢ ἐν φάσματι δείξει Κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς καταπίεται αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πάντα, ὅσα ἐστὶν αὐτοῖς, καὶ καταβήσονται ζῶντες εἰς ᾅδου, καὶ γνώσεσθε, ὅτι παρώξυναν*

| | |
|---|---|
| *ἀλλὰ φεῖσαι κράξον*<br>*ἐξ ὅλης τῆς καρδίας,*<br>*ἵνα μὴ τὸ χάσμα*<br>*τῆς γῆς σε συγκαλύψῃ.* | Φώναξε ὅμως δυνατὰ μὲ ὅλη τὴν καρδιά σου<br>«λυπήσου με»,<br>γιὰ νὰ μὴν ἀνοίξει ἡ γῆ<br>καὶ σὲ καταπιεῖ. |
| *3. Ὡς δάμαλις, ψυχή, παροιστρήσασα*[133]*,*<br>*ἐξωμοιώθης τῷ Ἐφραίμ·*<br>*ὡς δορκὰς ἐκ βρόχων,*<br>*ἀνάσωσον τὸν βίον,*<br>*πτερωθεῖσα πράξει*<br>*καὶ νῷ καὶ θεωρίᾳ.* | 3. Ὅπως ἡ δαμάλα, ψυχή μου, ἐξαγριώθηκες<br>καὶ ἔμοιασες πρὸς τὸν Ἐφραίμ!<br>Ὅπως τὸ ζαρκάδι ἀπ᾽ τὶς θηλιές,<br>ἐλευθέρωσε τὴ ζωή σου<br>ἀποκτώντας φτερὰ ἀπ᾽ τὴν πράξη,<br>τὴ νοερὴ ἐργασία καὶ τὴ θεωρία. |
| *4. Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσεται*[134]*,*<br>*ψυχή, πῶς δύναται Θεὸς*<br>*λεπρωθέντα βίον*<br>*λευκᾶναι καὶ καθᾶραι·*<br>*καὶ μὴ ἀπογνῷς*<br>*σεαυτὴν κἂν ἐλεπρώθης.* | 4. Τὸ χέρι τοῦ Μωυσῆ, ψυχή μου, θὰ μᾶς<br>βεβαιώσει πὼς ὁ Θεὸς μπορεῖ νὰ πλύνει καὶ νὰ<br>καθαρίσει ζωὴ ποὺ ἔγινε λεπρὴ (ἀπ᾽ τὴν<br>ἁμαρτία).<br>Ἔτσι καὶ σύ, ἂν προσβλήθηκες ἀπ᾽ τὴ λέπρα<br>μὴν ἔρθεις σὲ ἀπόγνωση. [τῆς ἁμαρτίας, |
| *5. Τὰ κύματα, Σωτήρ, τῶν πταισμάτων*<br>*μου,*<br>*ὡς ἐν θαλάσσῃ Ἐρυθρᾷ*[135]<br>*ἐπαναστραφέντα*<br>*ἐκάλυψέ με ἄφνω,*<br>*ὡς τοὺς Αἰγυπτίους* | 5. Τὰ κύματα, Σωτήρα, τῶν ἁμαρτημάτων μου,<br>ὅπως στὴν Ἐρυθρὰ θάλασσα,<br>ξαναγύρισαν<br>καὶ ξαφνικὰ μὲ σκέπασαν,<br>ὅπως τοὺς Αἰγυπτίους τότε<br>καὶ τοὺς ἡγήτορές τους. |

---

*οἱ ἄνθρωποι οὗτοι τὸν Κύριον. [31] ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τοὺς λόγους τούτους, ἐρράγη ἡ γῆ ὑποκάτω αὐτῶν, [32] καὶ ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ Κορὲ καὶ τὰ κτήνη αὐτῶν. [33] καὶ κατέβησαν αὐτοὶ καὶ ὅσα ἐστὶν αὐτῶν ζῶντα εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς συναγωγῆς».*

[133] *Ὠσ.* 4,16-17: *«διότι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ· νῦν νεμήσει αὐτοὺς Κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ. [17] μέτοχος εἰδώλων Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα».*

[134] *Ἀριθ.* 12,10-15: *«καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα ὡσεὶ χιών· καὶ ἐπέβλεψεν Ἀαρὼν ἐπὶ Μαριάμ, καὶ ἰδοὺ λεπρῶσα. [11] καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν· δέομαι, κύριε, μὴ συνεπιθῇ ἡμῖν ἁμαρτίαν, διότι ἠγνοήσαμεν καθ' ὅτι ἡμάρτομεν· [12] μὴ γένηται ὡσεὶ ἴσον θανάτῳ, ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς καὶ κατεσθίει τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς. [13] καὶ ἐβόησε Μωυσῆς πρὸς Κύριον λέγων· ὁ Θεὸς δέομαί σου, ἴασαι αὐτήν. [14] καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφορισθήτω ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς καὶ μετὰ ταῦτα εἰσελεύσεται. [15] καὶ ἀφωρίσθη Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· καὶ ὁ λαὸς οὐκ ἐξῆρεν, ἕως ἐκαθαρίσθη Μαριάμ».*

[135] *Ἔξοδ.* 14,28: *«καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν, εἰς τὴν θάλασσαν, καὶ οὐ κατελήφθη ἐξ αὐτῶν οὐδὲ εἷς».*

*ποτὲ καὶ τοὺς τριστάτας.*

*6. Ἀγνώμονα, ψυχὴ τὴν προαίρεσιν*
*ἔσχες ὡς πρὶν ὁ Ἰσραήλ·*
*τοῦ γὰρ θείου μάννα*[136]
*προέκρινας ἀλόγως*
*τὴν φιλήδονον*
*τῶν παθῶν ἀδηφαγίαν.*

6. Ἀχάριστη διάθεση, ψυχή μου,
ἀπόχτησες, ὅπως παλιὰ ὁ Ἰσραήλ.
Γιατὶ ἀπ᾽ τὸ θεῖο μάννα
προτίμησες παράλογα
τὴ φιλήδονη λαιμαργία
τῶν αἰσχρῶν παθῶν.

*7. Τὰ ὕεια κρέα καὶ τοὺς λέβητας*
*καὶ τὴν Αἰγύπτιον τροφὴν*[137]
*τῆς ἐπουρανίου*
*προέκρινας, ψυχή μου,*
*ὡς ὁ πρὶν ἀγνώμων*
*λαὸς ἐν τῇ ἐρήμῳ.*

7. Ἀντὶ τῆς ἐπουράνιας τροφῆς
προτίμησες, ψυχή μου,
τὰ χοιρινὰ κρέατα καὶ τὰ καζάνια
καὶ τὶς τροφὲς τῆς Αἰγύπτου,
ὅπως ὁ ἀχάριστος λαὸς
παλιὰ μέσα στὴν ἔρημο.

*8. Τὰ φρέατα, ψυχή, προετίμησας*
*τῶν Χαναναίων ἐννοιῶν*[138]
*τῆς φλεβὸς τῆς πέτρας·*
*ἐξ ἧς ὁ τῆς σοφίας*
*ποταμὸς προχέει*
*κρουνοὺς θεολογίας.*

8. Ἀντὶ τῆς φλέβας ποὺ βγαίνει ἀπ᾽ τὴν πέτρα,
ἀπ᾽ ὅπου ξεχύνεται
ὁ ποταμὸς τῆς σοφίας
καὶ οἱ κρουνοὶ τῆς θεολογίας,
ἐσύ, ψυχή, προτίμησες τοὺς σκοτεινοὺς
λογισμούς, ὅπως οἱ Χαναναῖοι τὰ φρέατα.

*9. Ὡς ἔπληξε Μωσῆς ὁ θεράπων σου*
*ράβδῳ τὴν πέτραν, τυπικῶς*[139]
*τὴν ζωοποιόν σου*
*Πλευρὰν προδιετύπου,*
*ἐξ ἧς πάντες πόμα*

9. Ὅταν ὁ δοῦλος Σου Μωυσῆς χτύπησε
μὲ τὸ ραβδὶ τὴν πέτρα,
προεικόνιζε
τὴ ζωοποιὸ πλευρά Σου,
ἀπ᾽ τὴν ὁποία ὅλοι ἐμεῖς, Σωτήρα μου,

[136] *Ἀριθ.* 11,4-8: *«Καὶ ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ἰσραὴλ καὶ εἶπαν· τίς ἡμᾶς ψωμιεῖ κρέα; [5] ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικύους καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ τὰ κρόμμυα καὶ τὰ σκόρδα· [6] νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν· [7] τὸ δὲ μάννα ὡσεὶ σπέρμα κορίου ἐστί, καὶ τὸ εἶδος αὐτοῦ εἶδος κρυστάλλου· [8] καὶ διεπορεύετο ὁ λαὸς καὶ συνέλεγον καὶ ἤληθον αὐτὸ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θυΐᾳ καὶ ἥψουν αὐτὸ ἐν τῇ χύτρᾳ καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας, καὶ ἦν ἡ ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς ἐξ ἐλαίου».*

[137] Ὅ.π.

[138] *Γεν.* 26,15: *«καὶ πάντα τὰ φρέατα, ἃ ὤρυξαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ καὶ ἔπλησαν αὐτὰ γῆς».*

[139] *Ἔξοδ.* 17,6: *«ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐν Χωρήβ· καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. ἐποίησε δὲ Μωυσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ»* καί *Ἰω.* 19,34: *«ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ».*

*ζωῆς, Σωτήρ, ἀντλοῦμεν.*

ἀντλοῦμε τὸ πιοτὸ τῆς αἰώνιας ζωῆς.

*10. Ἐρεύνησον, ψυχή, κατασκόπευσον,*
*ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ*[140]*,*
*τῆς κληροδοσίας*
*τὴν γῆν, ὁποία ἐστί,*
*καὶ κατοίκησον*
*ἐν αὐτῇ δι᾽ εὐνομίας.*

10. Ψυχή μου, ψάξε! Κατασκόπευσε,
ὅπως ὁ Ἰησοῦς τοῦ Ναυῆ,
ποιά εἶναι ἡ γῆ
ποὺ κληρονόμησες.
Καὶ κατοίκησε
σ᾽ αὐτὴ μὲ εὐταξία.

*11. Ἀνάστηθι καὶ καταπολέμησον,*
*ὡς Ἰησοῦς τὸν Ἀμαλήκ*[141]*,*
*τῆς σαρκὸς τὰ πάθη,*
*καὶ τοὺς Γαβαωνίτας,*
*τοὺς ἀπατηλοὺς*
*λογισμοὺς ἀεὶ νικῶσα.*

11. Ἐπάνω σήκω καὶ πολέμησε ἀμείλικτα
τῆς σάρκας τὰ πάθη,
νικώντας πάντοτε
(καὶ) τοὺς ἀπατηλοὺς λογισμούς,
ὅπως ὁ Ἰησοῦς τὸν Ἀμαλὴκ
καὶ τοὺς Γαβαωνίτες.

*12. Διάβηθι, τοῦ χρόνου τὴν ρέουσαν*
*φύσιν, ὡς πρὶν ἡ Κιβωτός*[142]*,*
*καὶ τῆς γῆς ἐκείνης*
*γενοῦ ἐν κατασχέσει*
*τῆς ἐπαγγελίας,*
*ψυχή· Θεὸς κελεύει.*

12. Πέρνα, ψυχή μου, τὴ ρέουσα φύση τοῦ χρόνου,
ὅπως παλιὰ ἡ Κιβωτός,
ποὺ κατάκτησε
τὴ γῆ ἐκείνη
τῆς ἐπαγγελίας.
Τὸ διατάσσει ὁ Θεός!

*13. Ὡς ἔσωσας τὸν Πέτρον βοήσαντα*[143]*,*

13. Ὅπως ἔσωσες τὸν Πέτρο ποὺ κραύγασε

---

[140] *Ἰη Να* 2,1 *ἑ.: «Καὶ ἀπέστειλεν Ἰησοῦς υἱὸς Ναυὴ ἐκ Σαττὶν δύο νεανίσκους κατασκοπεῦσαι λέγων· ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν Ἱεριχώ. καὶ πορευθέντες οἱ δύο νεανίσκοι εἰσήλθοσαν εἰς Ἱεριχὼ καὶ εἰσήλθοσαν εἰς οἰκίαν γυναικὸς πόρνης, ᾗ ὄνομα Ραάβ, καὶ κατέλυσαν ἐκεῖ».*

[141] Ὅ.π.

[142] *Ἰη Να* 3,14-17*: «καὶ ἀπῆρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων αὐτῶν διαβῆναι τὸν Ἰορδάνην, οἱ δὲ ἱερεῖς ἦροσαν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου πρότεροι τοῦ λαοῦ.* [15] *ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐπὶ τὸν Ἰορδάνην καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐβάφησαν εἰς μέρος τοῦ ὕδατος τοῦ Ἰορδάνου· ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ' ὅλην τὴν κρηπίδα αὐτοῦ ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν·* [16] *καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα σφοδρῶς ἕως μέρους Καριαθιαρίμ, τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἄραβα, θάλασσαν ἁλός, ἕως εἰς τὸ τέλος ἐξέλιπε· καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ.* [17] *καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου· καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην».*

[143] *Ματθ.* 14,28-31*: «ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα.* [29] *ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.* [30] *βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με.* [31] *εὐθέως δὲ ὁ*

*σῶσον προφθάσας με, Σωτήρ·*
*τοῦ θηρός με ῥῦσαι*
*ἐκτείνας σου τὴν χεῖρα,*
*καὶ ἀνάγαγε*
*τοῦ βυθοῦ τῆς ἁμαρτίας.*

«σῶσε με», καὶ μένα πρόφτασε, Σωτήρα,
καὶ σῶσε με ἀπ᾽ τὰ νύχια τοῦ διαβόλου,
ἁπλώνοντας τὸ χέρι Σου,
καὶ βγάλε με
ἀπ᾽ τὸν βοῦρκο τῆς ἁμαρτίας.

*14. Λιμένα σε γινώσκω γαλήνιον,*
*Δέσποτα, Δέσποτα Χριστέ·*
*ἀλλ᾽ ἐκ τῶν ἀδύτων*
*βυθῶν τῆς ἁμαρτίας*
*καὶ τῆς ἀπογνώσεώς με*
*προφθάσας ῥῦσαι.*

14. Δέσποτα! Δέσποτα Χριστέ μου,
Σὺ ᾽σαι τὸ λιμάνι τὸ γαλήνιο!
Γι᾽ αὐτὸ πρόφτασε καὶ βγάλε με
ἀπ᾽ τὸν κατασκότεινο
βυθὸ τῆς ἁμαρτίας
καὶ τῆς ἀπογνώσεως.

*15. Ἐγώ εἰμι, Σωτήρ, ἣν ἀπώλεσας*
*πάλαι βασίλειον δραχμήν[144]·*
*ἀλλ᾽ ἀνάψας λύχνον*
*τὸν Πρόδρομόν σου, Λόγε,*
*ἀναζήτησον*
*καὶ εὑρὲ τὴν σὴν εἰκόνα.*

15. Ἐγὼ εἶμαι, Σωτήρα μου, ἡ βασιλικὴ δραχμή,
ποὺ ἔχασες παλιά.
Ἄναψε γιὰ λυχνάρι
τὸν Πρόδρομό Σου, Λόγε·
ἀναζήτησε
καὶ βρὲς τὴ δική Σου εἰκόνα.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα...

*16. Τριάς εἰμι ἁπλῆ, ἀδιαίρετος,*
*διαιρετὴ προσωπικῶς,*
*καὶ Μονὰς ὑπάρχω*
*τῇ φύσει ἡνωμένη,*
*ὁ Πατήρ, φησίν,*
*ὁ Υἱὸς καὶ θεῖον Πνεῦμα.*

16. Εἶμαι Τριάδα ἁπλή, ἀδιαίρετη στὴν οὐσία,
ἀλλὰ διαιρετὴ σὲ πρόσωπα.
Συνάμα εἶμαι καὶ Μονάδα
στὴ φύση ἑνωμένη,
λέγει ὁ Πατέρας,
ὁ Υἱὸς καὶ τὸ Ἅγιο Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα... Θεοτοκίο.

*17. Ἡ μήτρα σου Θεὸν ἡμῖν ἔτεκε*
*μεμορφωμένον καθ᾽ ἡμᾶς·*
*ὃν ὡς Κτίστην πάντων*
*δυσώπει, Θεοτόκε,*

17. Ἡ μήτρα σου τὸν Θεὸ γιὰ χάρη μας γέννησε
μὲ τὴ δική μας ἀνθρώπινη μορφή.
Ἐκεῖνον, ὡς Κτίστη ὅλων τῶν ὄντων,
Θεοτόκε, νὰ παρακαλεῖς,

---

*Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε! εἰς τί ἐδίστασας;».*

[144] *Λουκ. 15,8-10: «Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου εὕρῃ; [9] καὶ εὑροῦσα συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας λέγουσα· συγχάρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα. [10] οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι».*

*ἵνα ταῖς πρεσβείαις*
*ταῖς σαῖς δικαιωθῶμεν.*

γιὰ νὰ δικαιωθοῦμε
μὲ τὶς προσευχές Σου.

*Κοντάκιον αὐτόμελον. Ἦχος πλ. β΄.*

Κοντάκιο αὐτόμελο. Ἦχος πλ. β΄.

*Ψυχή μου, ψυχή μου,*
*ἀνάστα, τί καθεύδεις;*
*τὸ τέλος ἐγγίζει*
*καὶ μέλλεις θορυβεῖσθαι·*
*ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός,*
*ὁ πανταχοῦ παρὼν*
*καὶ τὰ πάντα πληρῶν.*

Ψυχή μου! Ψυχή μου!
Σήκω ἐπάνω! Γιατί κοιμᾶσαι;
Τὸ τέλος τῆς ζωῆς σου φτάνει
καὶ σ᾿ ἀναμένει ταραχή!
Ξύπνα, λοιπόν! Γιὰ νὰ σὲ λυπηθεῖ ὁ Χριστὸς [καὶ Θεός.
Κεῖνος ποὺ βρίσκεται παντοῦ
καὶ τὰ πάντα γεμίζει μὲ τὴν παρουσία Του.

*Εἶτα ψάλλομεν τοὺς Μακαρισμοὺς καὶ τὰ Τροπάρια, ὡς ἕπεται, μετὰ τῶν μετανοιῶν ἀνὰ ἑκάστῳ.*

Ἦχος πλ. β΄.

Ἦχος πλ. β΄.

*Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε,*
*ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.*

Θυμήσου μας, Κύριε, στὴ Βασιλεία Σου.
Θυμήσου μας, Κύριε ὅταν ἔρθεις μὲ τὴ δόξα τῆς Βασιλείας σου.

*18. Ληστὴν τοῦ Παραδείσου, Χριστέ, πολίτην,*
*ἐπὶ Σταυροῦ σοι βοήσαντα*
*τὸ Μνήσθητί μου*[145]*, προαπειργάσω·*
*αὐτοῦ τῆς μετανοίας*
*ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.*

18. Τοῦ Παραδείσου πρῶτο πολίτη, Χριστέ μου, ἔκανες
τὸν ληστή, ὅταν ἐπάνω στὸν σταυρὸ
Σοῦ φώναξε τὸ «μνήσθητί μου».
Ἐκείνου τὴ μετάνοια
κάνε ν᾿ ἀποχτήσω κι ἐγὼ ὁ ἀνάξιος.

*Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,*
*ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.*

Μακάριοι εἶναι κεῖνοι ποὺ ἔχουν ταπεινὸ φρόνημα,
διότι σ᾿ αὐτοὺς ἀνήκει ἡ Βασιλεία τῶν οὐρανῶν.

*19. Τὸν Μανωὲ*[146] *ἀκούεις πάλαι, ψυχή μου,*
*Θεοῦ ἐν φαντασίᾳ γενόμενον,*
*καὶ τὸν ἐκ στείρας τότε λαβόντα*

19. Ἀκοῦς, ψυχή μου, ἀπ᾿ τὴ Γραφή, ὅτι παλιὰ ὁ
εἶδε μὲ τὰ μάτια του τὸν Θεὸ [Μανωὲ
κι ἀπόχτησε τὸν καρπὸ τῆς ὑποσχέσεως
ἀπὸ στεῖρα γυναίκα.

---

[145] Λουκ. 23,42: *«καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου».*
[146] Κριτ. 13,2: *«καὶ ἦν ἀνὴρ εἷς ἀπὸ Σαραὰ ἀπὸ δήμου συγγενείας τοῦ Δανί, καὶ ὄνομα αὐτῷ Μανωέ, καὶ γυνὴ αὐτοῦ στεῖρα καὶ οὐκ ἔτεκε».*

*καρπὸν ἐπαγγελίας·*
*αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα.*
*Μακάριοι οἱ πενθοῦντες,*
*ὅτι αὐτοὶ παρακληθήσονται.*

Κείνου ἂς μιμηθοῦμε τὴν εὐσέβεια.
Μακάριοι εἶναι κεῖνοι ποὺ πενθοῦν γιὰ τὶς ἁμαρτίες τους, διότι αὐτοὶ θὰ παρηγορηθοῦν ἀπ᾽ τὸν Θεό.

*20. Τὴν τοῦ Σαμψὼν ζηλώσασα*
*ῥᾳθυμίαν*[147]*,*
*τὴν δόξαν ἀπεκείρω τῶν ἔργων σου,*
*ψυχή, προδοῦσα τοῖς ἀλλοφύλοις*
*διὰ φιληδονίας*
*τὴν σώφρονα ζωὴν καὶ μακάριον.*

20. Στερήθηκες, ψυχή, τὴ δόξα τῶν ἔργων σου,
μὲ τὸ νὰ ζηλέψεις τὴ ραθυμία τοῦ Σαμψών.
Παρέδωσες στοὺς ἀλλοφύλους
τὴ μακάρια ζωὴ τῆς σωφροσύνης
καὶ προτίμησες τὴ φιληδονία.

*Μακάριοι οἱ πραεῖς,*
*ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.*

Μακάριοι εἶναι οἱ πράοι, διότι αὐτοὶ θὰ λάβουν ὡς κληρονομιὰ τὴν ἄνω γῆ τῆς ἐπαγγελίας (= τὴ Βασιλεία τοῦ Θεοῦ).

*21. Ὁ πρὶν ἐν σιαγόνι ὄνου νικήσας*
*τοὺς ἀλλοφύλους, νῦν παρανάλωμα*[148]
*τῆς ἐμπαθοῦς λαγνείας εὑρέθη·*
*ἀλλ᾽ ἔκφυγε, ψυχή μου,*
*τὴν μίμησιν, τὴν πρᾶξιν, τὴν χαύνωσιν.*

21. Κεῖνος ποὺ πρὶν μὲ τὸ σαγόνι τοῦ γαϊδάρου
νίκησε τοὺς ἀλλοφύλους, ἔγινε τώρα
παρανάλωμα τοῦ πάθους τῆς ἀκολασίας.
Γι᾽ αὐτό, ψυχή μου, σὺ ἀπέφυγε
τὴ μίμηση, τὴν πράξη καὶ τὴ χαύνωση.

*Μακάριοι οἱ πεινῶντες*
*καὶ διψῶντες τὴν δικαιοσύνην,*
*ὅτι αὐτοὶ χορτασθήσονται.*

Μακάριοι εἶναι κεῖνοι ποὺ ποθοῦν τὴ δικαιοσύνη τόσο βαθιά, ὅσο κεῖνοι ποὺ ζητᾶνε τροφὴ καὶ διψᾶνε γιὰ νερό, διότι ὁ Θεὸς θὰ ἱκανοποιήσει ἀπόλυτα τὸν πόθο τους.

---

[147] Κριτ. 16,1-4: *«Καί ἐπορεύθη Σαμψὼν εἰς Γάζαν· καὶ εἶδεν ἐκεῖ γυναῖκα πόρνην καὶ εἰσῆλθε πρὸς αὐτήν.* [2] *καὶ ἀνηγγέλη τοῖς Γαζαίοις λέγοντες· ἥκει Σαμψὼν ὧδε. καὶ ἐκύκλωσαν καὶ ἐνήδρευσαν ἐπ᾽ αὐτὸν ὅλην τὴν νύκτα ἐν τῇ πύλῃ τῆς πόλεως καὶ ἐκώφευσαν ὅλην τὴν νύκτα λέγοντες· ἕως διαφαύσῃ ὁ ὄρθρος, καὶ φονεύσωμεν αὐτόν.* [3] *καὶ ἐκοιμήθη Σαμψὼν ἕως μεσονυκτίου· καὶ ἀνέστη ἐν ἡμίσει τῆς νυκτὸς καὶ ἐπελάβετο τῶν θυρῶν τῆς πύλης τῆς πόλεως σὺν τοῖς δυσὶ σταθμοῖς καὶ ἀνεβάσταζεν αὐτὰς σὺν τῷ μοχλῷ καὶ ἔθηκεν ἐπὶ ὤμων αὐτοῦ καὶ ἀνέβη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους τοῦ ἐπὶ προσώπου τοῦ Χεβρὼν καὶ ἔθηκεν αὐτὰ ἐκεῖ.* [4] *Καὶ ἐγένετο μετὰ τοῦτο καὶ ἠγάπησε γυναῖκα ἐν Ἀλσωρήχ, καὶ ὄνομα αὐτῇ Δαλιδά».*

[148] Κριτ. 15,16-20: *«καὶ εἶπε Σαμψών· ἐν σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς, ὅτι ἐν τῇ σιαγόνι τοῦ ὄνου ἐπάταξα χιλίους ἄνδρας.* [17] *καὶ ἐγένετο ὡς ἐπαύσατο λαλῶν, καὶ ἔρριψε τὴν σιαγόνα ἐκ τῆς χειρὸς αὐτοῦ· καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Ἀναίρεσις σιαγόνος.* [18] *καὶ ἐδίψησε σφόδρα, καὶ ἔκλαυσε πρὸς Κύριον καὶ εἶπε· σὺ εὐδόκησας ἐν χειρὶ δούλου σου τὴν σωτηρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν ἀποθανοῦμαι τῷ δίψει καὶ ἐμπεσοῦμαι ἐν χειρὶ τῶν ἀπεριτμήτων.* [19] *καὶ ἔρρηξεν ὁ Θεὸς τὸν λάκκον τὸν ἐν τῇ σιαγόνι, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδωρ, καὶ ἔπιε, καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτοῦ καὶ ἔζησε. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Πηγὴ τοῦ ἐπικαλουμένου, ἥ ἐστιν ἐν Σιαγόνι, ἕως τῆς ἡμέρας ταύτης.* [20] *καὶ ἔκρινε τὸν Ἰσραὴλ ἐν ἡμέραις ἀλλοφύλων εἴκοσιν ἔτη».*

*22. Βαρὰκ*[149] *καὶ Ἰεφθάε οἱ στρατιάρχαι*
*κριταὶ τοῦ Ἰσραὴλ προεκρίθησαν,*
*μεθ᾽ ὧν Δεββώρα ἡ ἀρρενόφρων·*
*αὐτῶν ταῖς ἀριστείαις,*
*ψυχή, ἀρρενωθεῖσα κρατύνθητι.*

22. Ὁ Βαρὰκ καὶ ὁ Ἰεφθάε, οἱ ἡγέτες τοῦ στρατοῦ,
καὶ κοντὰ σ᾽ αὐτοὺς ἡ ἀτρόμητη Δεββώρα
προκρίθηκαν ἀρχηγοὶ τοῦ Ἰσραήλ.
Μ᾽ αὐτῶν τ᾽ ἀνδραγαθήματα
ἐνισχύσου, ψυχή, καὶ γίνε ἀρρενωπή.

*Μακάριοι οἱ ἐλεήμονες,*
*ὅτι αὐτοὶ ἐλεηθήσονται.*

Μακάριοι εἶναι κεῖνοι ποὺ βοηθοῦν τὸν πλησίον
τους στὴν ὥρα τῆς ἀνάγκης, διότι αὐτοὶ θὰ
ἐλεηθοῦν ἀπ᾽ τὸν Θεό.

*23. Τὴν Ἰαὴλ ἀνδρείαν ἔγνως, ψυχή μου,*
*τὴν τὸν Σισάρα πρὶν σκολοπίσασαν*
*καὶ σωτηρίαν ἐργασαμένην·*
*τὸν πάσσαλον ἀκούεις,*
*δι᾽ οὗ σοι ὁ Σταυρὸς εἰκονίζεται.*

23. Γιὰ τὴν ἀνδρεία τῆς Ἰαήλ, ψυχή μου, ἔμαθες,
ποὺ παλιὰ κάρφωσε τὸν Σισάρα μὲ τὸν πάσσαλο
καὶ πέτυχε τὴ σωτηρία τοῦ λαοῦ. [στὴ γῆ
Ἀκοῦς γιὰ τὸν πάσσαλο,
μὲ τὸν ὁποῖο συμβολίζεται ὁ σταυρός.

*Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,*
*ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.*

Μακάριοι εἶναι κεῖνοι ποὺ ἔχουν τὴν καρδιά τους
καθαρὴ (ἀπὸ ἁμαρτωλὰ πάθη), διότι αὐτοὶ θὰ
(ἀξιωθοῦν νὰ) δοῦν τὸν Θεό.

*24. Θῦσον, ψυχή, θυσίαν ἐπαινουμένην·*
*πρᾶξιν ὡς θυγατέρα προσάγαγε*
*τῆς Ἰεφθάε καθαρωτέραν,*
*καὶ σφάξον ὥσπερ θῦμα*
*τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου.*

24. Θυσίασε, ψυχή μου, θυσία ἀξιέπαινη.
Γιὰ θυγατέρα πρόσφερε τὴν πράξη,
θυσία καθαρότερη ἀπ᾽ τοῦ Ἰεφθάε,
καὶ σφάξε γιὰ σφάγιο πρὸς τὸν Κύριό σου
τὰ πάθη τῆς σάρκας.

*Μακάριοι οἱ εἰρηνοποιοί,*
*ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.*

Μακάριοι εἶναι κεῖνοι ποὺ εἰρηνεύουν τοὺς
ἀνθρώπους μεταξύ τους καὶ μὲ τὸν Θεό, διότι
αὐτοὶ θὰ ὀνομαστοῦν ἀπ᾽ τὸν Θεὸ παιδιά Του.

*25. Τοῦ Γεδεὼν τὸν πόκον νόει, ψυχή μου*[150]*·*
*ἐξ οὐρανοῦ τὴν δρόσον ὑπόδεξαι*
*καὶ κῦψον ὥσπερ κύων καὶ πίε*
*τὸ νᾶμα τὸ ἐκ νόμου,*
*ρυὲν τῇ ἀποθλίψει τοῦ γράμματος.*

25. Φέρε στὸν νοῦ σου, ψυχή μου, τὸ ποκάρι τοῦ Γεδεών.
Δέξου τὴ δροσιὰ ποὺ ἔρχεται ἀπ᾽ τὸν οὐρανὸ
καὶ σκύψε, ὅπως ὁ σκύλος, καὶ πιὲς
τὸ νάμα τοῦ νόμου ποὺ ξεπήδησε
μὲ τὴν ἀπόθλιψη τοῦ γράμματός του.

[149] *Κριτ.* κεφ. 4.

[150] *Κριτ. 6,39: «καὶ εἶπε Γεδεὼν πρὸς τὸν Θεόν· μὴ δὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοί, καὶ λαλήσω ἔτι ἅπαξ· πειράσω δὴ καί γε ἔτι ἅπαξ ἐν τῷ πόκῳ, καὶ γενέσθω ἡ ξηρασία ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν τὴν γῆν γενηθήτω δρόσος».*

*Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,*
*ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν.*

Μακάριοι εἶναι κεῖνοι ποὺ δοκίμασαν διωγμοὺς ἐξαιτίας τῆς εὐσέβειας
καὶ τῆς ἀρετῆς, διότι σ᾽ αὐτοὺς ἀνήκει ἡ Βασιλεία τῶν οὐρανῶν.

*26. Ἠλεὶ τοῦ Ἱερέως τὴν καταδίκην,*
*ψυχή μου ἐπεσπάσω δι᾽ ἔνδειαν*
*φρενῶν, ἀνασχομένη τὰ πάθη*
*ἐν σοί, ὥσπερ ἐκεῖνος*
*τὰ τέκνα, ἐνεργεῖν τὰ παράνομα.*

26. Τοῦ ἱερέα Ἠλεὶ τὴν καταδίκη
ἐπέσυρες, ψυχή μου, μὲ τὸ ν᾽ ἀνεχτεῖς
ἀπὸ ἔλλειψη φρονήσεως νὰ ἐνεργοῦν
τὰ παράνομα πάθη μέσα σου,
ὅπως ἐκεῖνος τὰ παιδιά του.

*Μακάριοι ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι*
*καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν,*
*ψευδόμενοι ἕνεκεν ἐμοῦ.*

Μακάριοι εἶστε, ὅταν ἐξαιτίας μου οἱ ἄνθρωποι σᾶς χλευάσουν καὶ σᾶς
διώξουν καὶ σᾶς κατηγορήσουν λέγοντας κάθε εἴδους ψέματα ἐναντίον σας.

*27. Ἐν τοῖς κριταῖς Λευίτης δι᾽ ἐμμελείας*
*τὴν ἑαυτοῦ γυναῖκα ταῖς δώδεκα*
*φυλαῖς διεῖλε, ψυχή μου,*
*ἵνα τὸ μῦσος θριαμβεύσῃ*
*τὸ ἐκ Βενιαμὶν τὸ παράνομον.*

27.Ὁ Λευίτης στὸ βιβλίο τῶν Κριτῶν
κομμάτιασε, ψυχή μου, τὴ γυναίκα του
μὲ ἐπιμέλεια στὶς δώδεκα φυλές,
γιὰ νὰ φανερώσει σ᾽ ὅλους τὴν αἰσχρὴ
καὶ παράνομη πράξη, ποὺ διέπραξε ὁ Βενιαμίν.

*Χαίρετε καὶ ἀγαλλιᾶσθε,*
*ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.*

Νὰ χαίρεστε καὶ νὰ σκιρτᾶτε ἀπὸ ἀγαλλίαση
(ὅταν οἱ ἄνθρωποι σᾶς διώξουν ἐξαιτίας μου),
διότι ἡ ἀνταμοιβή σας στὴν οὐράνια Βασιλεία θὰ εἶναι μεγάλη.

*28. Ἡ φιλοσώφρων Ἄννα προσευχομένη*
*τὰ χείλη μὲν ἐκίνει πρὸς αἴνεσιν[151],*
*φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο·*
*ἀλλ᾽ ὅμως στεῖρα οὖσα*
*υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον.*

28. Ἡ Ἄννα ποὺ ἀγάπησε τὴ σωφροσύνη, ὅταν προσευχόταν κινοῦσε τὰ χείλη της γιὰ νὰ ὑμνήσει τὸν Θεό. Φωνὴ ὅμως ἀπ᾽ τὸ στόμα της δὲν ἔβγαινε. Ἔτσι, στείρα ὄντας, γέννησε γιὸ τῆς προσευχῆς ἀντάξιο.

*Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.*

Θυμήσου μας, Κύριε, ὅταν ἔρθεις μὲ τὴ δόξα τῆς Βασιλείας Σου.

*29. Ἐν τοῖς κριταῖς ὁ Ἄννης ἐκρίθη γόνος,*
*ὁ μέγας Σαμουήλ, ὃν ἐθρέψατο*
*ἡ Ἀρμαθὲμ ἐν οἴκῳ Κυρίου[152]·*

29. Μεταξὺ τῶν Κριτῶν κατατάχτηκε ὁ γόνος τῆς
ὁ μεγάλος Σαμουήλ, ποὺ ἀνατράφηκε [Ἄννας,

[151] Α΄ Βασ. 1,13: *«καὶ αὕτη ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, καὶ φωνὴ αὐτῆς οὐκ ἠκούετο· καὶ ἐλογίσατο αὐτὴ Ἡλὶ εἰς μεθύουσαν».*

[152] Α΄ Βασ. 2,11: *«Καὶ κατέλιπεν αὐτὸν ἐκεῖ ἐνώπιον Κυρίου καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ, καὶ τὸ παιδάριον ἦν λειτουργῶν τῷ προσώπῳ Κυρίου ἐνώπιον Ἡλὶ τοῦ ἱερέως».*

*αὐτὸν ζῆλον, ψυχή μου,*
*καὶ κρῖναι πρὸς τῶν ἄλλων τὰ ἔργα σου.*

*Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.*

*30. Δαυῒδ εἰς Βασιλέα ἐκλελεγμένος*
*βασιλικῶς ἐχρίσθη τῷ κέρατι*
*τοῦ θείου μύρου· σὺ οὖν, ψυχή μου,*
*τὴν ἄνω βασιλείαν εἰ θέλεις,*
*μύρῳ χρίσαι τοῖς δάκρυσιν.*

*Μνήσθητι ἡμῶν, Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.*

*31. Ἐλέησον τὸ πλάσμα σου, Ἐλεῆμον·*
*οἴκτειρον τῶν χειρῶν σου τὸ ποίημα*
*καὶ φεῖσαι πάντων ἡμαρτηκότων,*
*κἀμοῦ τοῦ ὑπὲρ πάντας*
*τοῖς σοῖς ὑπεριδόντος προστάγμασι.*

Δόξα.

*32. Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ,*
*Πατέρα προσκυνῶ τὸν γεννήσαντα,*
*Υἱὸν δοξάζω τὸν γεννηθέντα,*
*ὑμνῶ τὸ συνεκλάμπον*
*Πατρί τε καὶ Υἱῷ Πνεῦμα Ἅγιον.*

Καὶ νῦν. Θεοτοκίον.

*33. Τὸν ὑπὲρ φύσιν τόκον σου προσκυνοῦμεν,*
*τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου*
*μὴ διαιροῦντες Θεογεννῆτορ·*
*ὁ εἷς γὰρ τῷ προσώπῳ*
*διττὸς ὁμολογεῖται ταῖς φύσεσιν.*

στὴν Ἀρμαθὲμ μέσα στὸν οἶκο τοῦ Κυρίου.
Αὐτὸν προσπάθησε νὰ μιμηθεῖς, ψυχή μου,
καὶ κρίνε τὰ ἔργα σου συγκρίνοντάς τα μὲ τὰ ἔργα
[τῶν ἄλλων.

Θυμήσου μας, Δέσποτα, ὅταν ἔρθεις μὲ τὴ δόξα τῆς Βασιλείας Σου.

30. Ὁ Δαβὶδ ποὺ ἐκλέχτηκε βασιλιάς,
χρίστηκε βασιλικὰ μὲ τὸ κέρατο
τοῦ θείου μύρου. Καὶ σὺ λοιπόν, ψυχή μου,
ἂν ποθεῖς τὴν οὐράνια Βασιλεία,
χρίσου, ἀντὶ γιὰ μύρο μὲ τὰ δάκρυα.

Θυμήσου μας, Ἅγιε, ὅταν ἔρθεις μὲ τὴ δόξα τῆς Βασιλείας Σου.

31. Ἐλεήμονα, ἐλέησε τὸ πλάσμα Σου!
Σπλαχνίσου τῶν χεριῶν Σου τὸ δημιούργημα!
Καὶ λυπήσου ὅλους τοὺς ἁμαρτωλούς!
Καὶ μένα ποὺ περισσότερο ἀπ᾽ ὅλους
περιφρόνησα τὶς ἐντολές Σου.

Δόξα ἀνήκει στὸν Πατέρα...

32. Ἄναρχη τὴ γέννηση καὶ τὴν πρόοδο (ὁμολογῶντας),
προσκυνῶ τὸν Πατέρα ποὺ γέννησε,
δοξάζω τὸν Υἱὸ ποὺ γεννήθηκε καὶ ὑμνῶ τὸ
Πνεῦμα τὸ Ἅγιο, ποὺ τὸ φῶς μαζὶ μὲ τὸν Πατέρα
καὶ τὸν Υἱὸ σκορπᾶ.

Καὶ τώρα... Θεοτοκίο.

33. Προσκυνοῦμε, Θεογεννήτρια, τὴ γέννα σου,
πάνω ἀπ᾽ τοὺς νόμους τῆς φύσεως, χωρὶς νὰ
τὴ δόξα τῶν δυὸ φύσεων τοῦ βρέφους σου.
Αὐτὸν ποὺ εἶναι ἕνα πρόσωπο,
Τὸν ὁμολογοῦμε μὲ δυὸ φύσεις.

Ὠιδὴ ζ΄. Ὁ Εἱρμός.

*«Ἡμάρτομεν, ἠνομήσαμεν,*
*» ἠδικήσαμεν ἐνώπιόν σου[153]·*
*» οὐδὲ συνετηρήσαμεν,*
*» οὐδὲ ἐποιήσαμεν,*
*» καθὼς ἐνετείλω ἡμῖν.*
*» Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος,*
*» ὁ τῶν Πατέρων Θεός.*

*1. Ἡμάρτηκα, ἐπλημμέλησα*
*καὶ ἠθέτησα τὴν ἐντολήν σου·*
*ὅτι ἐν ἁμαρτίαις προήχθην*
*καὶ προσέθηκα τοῖς μώλωψι*
*τραῦμα ἐμοί.*
*Ἀλλ᾽ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος,*
*ὁ τῶν Πατέρων Θεός.*

*2. Τὰ κρύφια τῆς καρδίας μου*
*ἐξηγόρευσά σοι τῷ Κριτῇ μου·*
*ἴδε μου τὴν ταπείνωσιν,*
*ἴδε καὶ τὴν θλῖψίν μου*
*καὶ πρόσχες τῇ κρίσει μου νῦν·*
*καὶ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος,*
*ὁ τῶν Πατέρων Θεός.*

*3. Σαοὺλ ποτε ὡς ἀπώλεσε*
*τοῦ πατρὸς αὐτοῦ, ψυχή, τὰς ὄνους[154],*
*πάρεργον τὸ βασίλειον*
*εὗρε πρὸς ἀνάρρησιν.*
*Ἀλλ᾽ ὅρα μὴ λάθῃς σαυτήν,*
*τὰς κτηνώδεις ὀρέξεις σου προκρίνουσα*
*τῆς βασιλείας Χριστοῦ.*

*4. Δαυῒδ ποτε ὁ πατρόθεος*
*εἰ καὶ ἥμαρτε διττῶς, ψυχή μου,*
*βέλει μὲν τοξευθεὶς τῆς μοιχείας[155],*

Ὠδὴ ζ΄. Εἱρμός.

Ἁμαρτήσαμε! Παρανομήσαμε!
Ἀδικήσαμε μπροστὰ στὰ μάτια Σου!
Δὲν τηρήσαμε πιστὰ
καὶ δὲν ἐκτελέσαμε
τὶς ἐντολές Σου, ποὺ μᾶς ἔδωσες.
Σὺ ὅμως, ὁ Θεὸς τῶν Πατέρων μας,
μὴ μᾶς παραδώσεις σὲ θάνατο κι ἀφανισμό.

1. Ἁμάρτησα! Ἔσφαλα
καὶ ἀθέτησα τὴν ἐντολή Σου!
Στὴ ζωὴ πορεύτηκα ἀπὸ τὴ μιὰ στὴν ἄλλη ἁμαρτία
καὶ στὶς πληγές μου πρόσθεσα
κι ἄλλα τραύματα.
Ἀλλὰ Σύ, ὁ Θεὸς τῶν Πατέρων μου,
σὰν σπλαχνικὸς ἐλέησέ με.

2. Σὲ Σένα τὸν Κριτή μου ἐξαγόρευσα
τῆς καρδιᾶς μου τ᾽ ἀπόκρυφα.
Δὲς τὴν ταπείνωσή μου.
Δὲς καὶ τὴ θλίψη μου
καὶ δῶσε τώρα προσοχὴ στὴν περίπτωσή μου.
Καὶ σύ, ὁ Θεὸς τῶν Πατέρων μου,
σὰν σπλαχνικὸς ἐλέησέ με.

3. Ὁ Σαούλ, ψυχή μου, ὅταν κάποτε
ἔχασε τὰ γαϊδούρια τοῦ πατέρα του,
ἀντὶ γι᾽ αὐτὰ βρῆκε συμπτωματικὰ τὸ βασιλικὸ ἀξίωμα,
στὸ ὁποῖο κι ἀνέβηκε.
Πρόσεχε λοιπὸν καὶ σὺ μὴν ξεχαστεῖς
καὶ προτιμήσεις τὶς κτηνώδεις ὀρέξεις σου
ἀπ᾽ τὴ βασιλεία τοῦ Χριστοῦ.
4. Ὁ Δαβίδ, ὁ πρόγονος τοῦ Χριστοῦ, ψυχή μου,
διπλὰ κάποτε ἁμάρτησε.
Τοξεύτηκε ἀπ᾽ τὰ βέλη τῆς μοιχείας

153 *Ὕμνος τῶν τριῶν παίδων, Δαν.* κεφ. 5-6.
154 *Α΄ Βασ.* 9,3ἑ.
155 *Β΄ Βασ.* 11,2-4: *«καὶ ἐγένετο πρὸς ἑσπέραν καὶ ἀνέστη Δαυὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βασιλέως καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος, καὶ ἡ γυνὴ καλὴ τῷ εἴδει σφόδρα. [3] καὶ ἀπέστειλε Δαυὶδ καὶ ἐζήτησε τὴν γυναῖκα*

*τῷ δὲ δόρατι ἁλοὺς*
*τῆς τοῦ φόνου ποινῆς*[156].
*Ἀλλ᾽ αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς*
*ταῖς κατὰ γνώμην ὁρμαῖς.*

καὶ νικήθηκε ἀπ᾽ τὸ δόρυ
τῆς ποινῆς τοῦ φόνου.
Ἀλλὰ σὺ ἔχεις ἁμαρτήματα βαρύτερα,
τὶς κακὲς ὁρμὲς ποὺ φωλιάζουν στὴν προαίρεσή σου.

*5. Συνῆψε μὲν ὁ Δαυῒδ ποτε*
*ἀνομήματι τὴν ἀνομίαν·*
*φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα,*
*τὴν μετάνοιαν εὐθὺς*
*παραδείξας διπλῆν*[157].
*Ἀλλ᾽ αὐτὴ πονηρότερα εἰργάσω, ψυχή,*
*μὴ μεταγνοῦσα Θεῷ.*

5. Πρόσθεσε κάποτε ὁ Δαβὶδ
στὴ μιὰ ἁμαρτία κι ἄλλη.
Ἐκτὸς ἀπ᾽ τὴ μοιχεία ἔκανε καὶ φόνο,
ἀλλ᾽ ἀμέσως ἔδειξε
καὶ τὴ μετάνοια διπλή.
Σὺ ὅμως, ψυχή μου, ἔκανες μεγαλύτερες
ἁμαρτίες, χωρὶς νὰ δείξεις στὸν Θεὸ μετάνοια.

*6. Δαυῒδ ποτε ἀνεστήλωσε*
*συγγραψάμενος ὡς ἐν εἰκόνι*
*ὕμνον, δι᾽ οὗ τὴν πρᾶξιν ἐλέγχει,*
*ἣν εἰργάσατο*
*κραυγάζων, Ἐλέησόν με·*
*σοὶ γὰρ μόνῳ ἐξήμαρτον τῷ πάντων Θεῷ·*
*αὐτὸς καθάρισόν με*[158].

6. Ὁ Δαβὶδ τότε ὕψωσε
σὰν ἄλλη εἰκόνα τὸν ὕμνο ποὺ συνέθεσε,
μὲ τὸν ὁποῖο ἐλέγχει τὴν πράξη
ποὺ ᾽κανε
φωνάζοντας δυνατά: «Ἐλέησέ με».
Σὲ Σένα μόνο ἁμάρτησα, τὸν Θεὸ τῶν ὅλων.
Σὺ ἀπ᾽ τὴν ἁμαρτία μου καθάρισέ με.

*7. Ἡ Κιβωτὸς ὡς ἐφέρετο*
*ἐπιδίφριος, ὁ Ζᾶν ἐκεῖνος*
*ὅτε, ἀνατραπέντος τοῦ μόσχου,*
*μόνον ἥψατο*
*Θεοῦ ἐπειράθη ὀργῆς*[159].

7. Ὅταν μεταφερόταν ἡ κιβωτὸς
πάνω στὸ ἅρμα καὶ τόλμησε ἐκεῖνος ὁ Ὀζά,
τὴ στιγμὴ ποὺ τὸ βόδι τὴν ταρακούνησε,
μόνο νὰ τὴν ἀγγίξει,
δοκίμασε τὴν ὀργὴ τοῦ Θεοῦ.

---

*καὶ εἶπεν· οὐχὶ αὕτη Βηρσαβεὲ θυγάτηρ Ἐλιὰβ γυνὴ Οὐρίου τοῦ Χετταίου;* [4] *καὶ ἀπέστειλε Δαυὶδ ἀγγέλους καὶ ἔλαβεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐκοιμήθη μετ' αὐτῆς, καὶ αὐτὴ ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς, καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς».*

[156] *Β΄Βασ.* 11,6-17.

[157] *Β΄ Βασ.* 12,9-13: *«τί ὅτι ἐφαύλισας τὸν λόγον Κυρίου τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς αὐτοῦ; τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ρομφαίᾳ καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες σεαυτῷ εἰς γυναῖκα καὶ αὐτὸν ἀπέκτεινας ἐν ρομφαίᾳ υἱῶν Ἀμμών.* [10] *καὶ νῦν οὐκ ἀποστήσεται ρομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος ἀνθ' ὧν ὅτι ἐξουδένωσάς με καὶ ἔλαβες τὴν γυναῖκα τοῦ Οὐρίου τοῦ Χετταίου τοῦ εἶναί σοι εἰς γυναῖκα.* [11] *τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου καὶ λήψομαι τὰς γυναῖκάς σου κατ' ὀφθαλμούς σου καὶ δώσω τῷ πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου τούτου·* [12] *ὅτι σὺ ἐποίησας κρυβῇ, κἀγὼ ποιήσω τὸ ρῆμα τοῦτο ἐναντίον παντὸς Ἰσραὴλ καὶ ἀπέναντι τοῦ ἡλίου τούτου.* [13] *καὶ εἶπε Δαυὶδ τῷ Νάθαν· ἡμάρτηκα τῷ Κυρίῳ. καὶ εἶπε Νάθαν πρὸς Δαυίδ· καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς».*

[158] *Ψαλμ.* 50.

*Ἀλλ᾽ αὐτοῦ τὴν αὐθάδειαν φυγοῦσα,*
*ψυχή,*
*σέβου τὰ θεῖα καλῶς.*

Ἀλλὰ φεῦγε μακριά, ψυχή μου, ἀπ᾽ τὴν αὐθάδεια ἐκείνου
καὶ μὴν πάψεις νὰ σέβεσαι σωστὰ τὰ θεῖα.

*8. Ἀκήκοας τοῦ Ἀβεσσαλὼμ*[160]
*πῶς τῆς φύσεως ἀντεξανέστη·*
*ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις,*
*αἷς ἐξύβρισε*
*τὴν κοίτην Δαυῒδ τοῦ πατρός.*
*Ἀλλ᾽ αὐτὴ ἐμιμήσω τὰς αὐτοῦ ἐμπαθεῖς*
*καὶ φιληδόνους ὁρμάς.*

8. Ἄκουσες γιὰ τὸν Ἀβεσσαλώμ,
μὲ ποιό τρόπο ἐπαναστάτησε ἐνάντια σ᾽ ἐκεῖνον ποὺ
Γνώρισες τὶς βδελυρές του πράξεις, μὲ τὶς ὁποῖες
πρόσβαλε τὸ κρεβάτι τοῦ πατέρα του Δαβίδ.
Ἀλλὰ καὶ σὺ μιμήθηκες τὶς ἐμπαθεῖς
καὶ φιλήδονες ὁρμές του.

*9. Ὑπέταξας τὸ ἀδούλωτον*
*σοῦ ἀξίωμα τῷ σώματί σου·*
*ἄλλον γὰρ Ἀχιτόφελ εὑροῦσα*
*τὸν ἐχθρόν, ψυχή*[161]*,*
*συνῆλθες ταῖς τούτου βουλαῖς·*
*ἀλλ᾽ αὐτὰς διεσκέδασεν αὐτὸς ὁ Χριστός,*
*ἵνα σὺ πάντως σωθῇς.*

9. Ὑπέταξες τὴ θέλησή σου
τὴν κυρίαρχη στὸ σῶμα σου.
Γιατὶ σὰν ἄλλον Ἀχιτόφελ βρίσκοντας,
ψυχή μου, τὸν ἐχθρὸ τῶν ἀνθρώπων (διάβολο)
ἀκολούθησες τὰ σχέδιά του.
Ἀλλ᾽ αὐτὰ τὰ διάλυσε ὁ ἴδιος ὁ Χριστὸς
γιὰ νὰ μπορέσεις σὺ μ᾽ ἀσφάλεια νὰ σωθεῖς.

---

[159] *Βασ.* 6,1-7: *«Καί συνήγαγεν ἔτι Δαυὶδ πάντα νεανίαν ἐξ Ἰσραήλ, ὡς ἑβδομήκοντα χιλιάδας.* [2] *καὶ ἀνέστη καὶ ἐπορεύθη Δαυὶδ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ καὶ ἀπὸ τῶν ἀρχόντων Ἰούδα ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ Θεοῦ, ἐφ᾽ ἣν ἐπεκλήθη τὸ ὄνομα τοῦ Κυρίου τῶν δυνάμεων καθημένου ἐπὶ τῶν Χερουβὶν ἐπ᾽ αὐτῆς.* [3] *καὶ ἐπεβίβασαν τὴν κιβωτὸν Κυρίου ἐφ᾽ ἅμαξαν καινὴν καὶ ἦραν αὐτὴν ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ· καὶ Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ Ἀμιναδὰβ ἦγον τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ,* [4] *καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ.* [5] *καὶ Δαυὶδ καὶ υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον Κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ, καὶ ἐν ᾠδαῖς καὶ ἐν κινύραις καὶ ἐν νάβλαις καὶ ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν αὐλοῖς.* [6] *καὶ παραγίνονται ἕως ἅλω Ναχών, καὶ ἐξέτεινεν Ὀζὰ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ Θεοῦ κατασχεῖν αὐτὴν καὶ ἐκράτησεν αὐτήν, ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος.* [7] *καὶ ἐθυμώθη ὀργῇ Κύριος τῷ Ὀζά, καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ Θεός, καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν τοῦ Κυρίου ἐνώπιον τοῦ Θεοῦ».*

[160] *Β΄Βασ.* 16,21-22: *«καὶ εἶπεν Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ· εἴσελθε πρὸς τὰς παλλακὰς τοῦ πατρός σου, ἃς κατέλιπε φυλάσσειν τὸν οἶκον αὐτοῦ, καὶ ἀκούσεται πᾶς Ἰσραὴλ ὅτι κατῄσχυνας τὸν πατέρα σου, καὶ ἐνισχύσουσιν αἱ χεῖρες πάντων τῶν μετὰ σοῦ.* [22] *καὶ ἔπηξαν τὴν σκηνὴν τῷ Ἀβεσσαλὼμ ἐπὶ τὸ δῶμα, καὶ εἰσῆλθεν Ἀβεσσαλὼμ πρὸς τὰς παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ᾽ ὀφθαλμοὺς παντὸς Ἰσραήλ».*

[161] *Β΄ Βασ.* 16,23: *«καὶ ἡ βουλὴ Ἀχιτόφελ, ἣν ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς πρώταις, ὃν τρόπον ἐπερωτήσῃ τις ἐν λόγῳ τοῦ Θεοῦ, οὕτως πᾶσα ἡ βουλὴ τοῦ Ἀχιτόφελ καί γε τῷ Δαυὶδ καί γε τῷ Ἀβεσσαλώμ»* καί 17,14έ: *«καὶ εἶπεν Ἀβεσσαλὼμ καὶ πᾶς ἀνὴρ Ἰσραήλ· ἀγαθὴ ἡ βουλὴ Χουσὶ τοῦ Ἀραχὶ ὑπὲρ τὴν βουλὴν Ἀχιτόφελ· καὶ Κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν τοῦ Ἀχιτόφελ τὴν ἀγαθήν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβεσσαλὼμ τὰ κακὰ πάντα».*

*10. Ὁ Σολομὼν ὁ θαυμάσιος,*
*ὁ καὶ χάριτος σοφίας πλήρης,*
*οὗτος τὸ πονηρὸν ἐναντίον*[162]
*τοῦ Θεοῦ ποτε*
*ποιήσας ἀπέστη αὐτοῦ·*
*ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον,*
*ψυχή, προσαφωμοίωσας.*

10. Ὁ ἀξιοθαύμαστος Σολομών,
ὁ γεμάτος ἀπὸ χάρη καὶ σοφία·
αὐτὸς κάποτε ἔκανε τὸ πονηρὸ
μπροστὰ στὰ μάτια τοῦ Θεοῦ
κι ἀπομακρύνθηκε ἀπὸ κοντά Του.
Ἐκεῖνον καὶ σὺ ἀκολούθησες τυφλά,
ψυχή, μὲ τὴν ἀπαίσια ζωή σου.

*11. Ταῖς ἡδοναῖς ἐξελκόμενος*
*τῶν παθῶν αὐτοῦ κατερρυποῦτο·*
*οἴμοι! ὁ ἐραστὴς τῆς σοφίας*[163]
*ἐραστὴς πορνῶν*
*γυναικῶν καὶ ξένος Θεοῦ·*
*ὃν αὐτὴ ἐμιμήσω κατὰ νοῦν, ὦ ψυχή,*
*ἡδυπαθείαις αἰσχραῖς.*

11. Στὶς ἡδονὲς ἀγκιστρωμένος
μολυνόταν ἀπ᾽ τὰ πάθη του.
Τί κρίμα! Ὁ ἐραστὴς τῆς σοφίας ἔγινε
ἐραστὴς πορνῶν γυναικῶν,
ἀποξενωμένος ἀπ᾽ τὸν Θεό!
Αὐτὸν καὶ σὺ ἡ ἴδια μιμήθηκες, ψυχή μου,
νοερά, μὲ τὶς αἰσχρὲς ἡδυπάθειες.

*12. Τὸν Ροβοὰμ*[164] *παρεζήλωσας*
*ἀλογήσαντα βουλῆς πατρῴας,*
*ἅμα δὲ καὶ τὸν κάκιστον*
*δοῦλον Ἱεροβοὰμ*
*τὸν πρὶν ἀποστάτην, ψυχή.*
*Ἀλλὰ φεῦγε τὴν μίμησιν καὶ κράζε Θεῷ·*
*Ἥμαρτον, οἴκτειρόν με.*

12. Τὸν Ροβοὰμ μιμήθηκες,
ποὺ καταφρόνησε τὴν πατρικὴ συμβουλή.
Συνάμα καὶ τὸν κάκιστο
δοῦλο Ἱεροβοάμ,
ποὺ ἀπ᾽ τὴν ἀρχὴ ἦταν, ψυχή μου, ἀποστάτης.
Ἀλλὰ φεῦγε τὴ μίμησή τους καὶ φώναζε δυνατὰ [πρὸς τὸν Θεό:
Ἁμάρτησα! Σπλαχνίσου με.

---

[162] *Γ΄ Βασ.* 11,4έ: *«καὶ ἐγενήθη ἐν καιρῷ γήρους Σαλωμὼν καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξέκλιναν γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν αὐτῶν»*.

[163] *Γ΄ Βασ.* 3,9-13: *«καὶ δώσεις τῷ δούλῳ σου καρδίαν ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοῦ συνιεῖν ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ· ὅτι τίς δυνηθήσεται κρίνειν τὸν λαόν σου τὸν βαρὺν τοῦτον; [10] καὶ ἤρεσεν ἐνώπιον Κυρίου, ὅτι ᾐτήσατο Σαλωμὼν τὸ ῥῆμα τοῦτο, [11] καὶ εἶπε Κύριος πρὸς αὐτόν· ἀνθ᾽ ὧν ᾐτήσω παρ᾽ ἐμοῦ τὸ ῥῆμα τοῦτο καὶ οὐκ ᾐτήσω σεαυτῷ ἡμέρας πολλὰς καὶ οὐκ ᾐτήσω πλοῦτον, οὐδὲ ᾐτήσω ψυχὰς ἐχθρῶν σου, ἀλλ᾽ ᾐτήσω σεαυτῷ τοῦ συνιεῖν τοῦ εἰσακούειν κρίμα, [12] ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου· ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην καὶ σοφήν, ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι. [13] καὶ ἃ οὐκ ᾐτήσω, δέδωκά σοι, καὶ πλοῦτον καὶ δόξαν, ὡς οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι·»* καί 11,1-4: *«ΚΑΙ ὁ βασιλεὺς Σαλωμὼν ἦν φιλογύνης. καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι καὶ παλλακαὶ τριακόσιαι. καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, Ἀμμανίτιδας, Σύρας καὶ Ἰδουμαίας, Χετταίας καὶ Ἀμορραίας, [2] ἐκ τῶν ἐθνῶν, ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· οὐκ εἰσελεύσεσθε εἰς αὐτούς, καὶ αὐτοὶ οὐκ εἰσελεύσονται εἰς ὑμᾶς, μὴ ἐκκλίνωσι τὰς καρδίας ὑμῶν ὀπίσω εἰδώλων αὐτῶν· εἰς αὐτοὺς ἐκολλήθη Σαλωμὼν τοῦ ἀγαπῆσαι*. [4] καὶ ἐγενήθη ἐν καιρῷ γήρους Σαλωμὼν καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξέκλιναν γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν αὐτῶν»*.

[164] *Γ΄ Βασ.* 12,24α-24ο.

*13. Τὸν Ἀχαὰβ παρεζήλωσας*[165]
*τοῖς μιάσμασι, ψυχή μου· οἴμοι!*
*γέγονας σαρκικῶν μολυσμάτων*
*καταγώγιον*
*καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν.*
*Ἀλλ᾽ ἐκ βάθους σου στέναξον*
*καὶ λέγε Θεῷ τὰς ἁμαρτίας σου.*

13. Ἀλίμονο, ψυχή μου!
Μιμήθηκες τὸν Ἀχαὰβ στὰ μολύσματα.
Ἔγινες ἄντρο
σαρκικῶν ἀκαθαρσιῶν
κι ὄργανο τῶν αἰσχρῶν παθῶν.
Στέναξε λοιπὸν βαθιά! Καὶ λέγε στὸν Θεὸ
τὶς ἁμαρτίες σου.

*14. Ἐνέπρησεν Ἠλιού ποτε*
*δὶς πεντήκοντα τῆς Ἰεζάβελ,*
*ὅτε τοὺς τῆς αἰσχύνης προφήτας*
*κατηνάλωσεν*
*εἰς ἔλεγχον τοῦ Ἀχαάβ*[166]*.*
*Ἀλλὰ φεῦγε τὴν μίμησιν τῶν δύο,*
*ψυχή, καὶ κραταιώθητι.*

14. Ἔκαψε κάποτε ὁ Ἠλίας
δυὸ φορὲς ἀπὸ πενήντα (στρατιῶτες) τῆς Ἰεζάβελ,
τότε ποὺ κατέσφαξε
τοὺς ἱερεῖς τῆς αἰσχύνης
γιὰ νὰ ἐλέγξει τὸν Ἀχαάβ.
Ἀλλὰ φεῦγε καὶ τῶν δυὸ τὴ μίμηση,
ψυχή, καὶ πάρε δύναμη.

*15. Ἐκλείσθη σοι οὐρανός, ψυχή,*
*καὶ λιμὸς Θεοῦ κατέλαβέ σε,*

15. Σοῦ κλείστηκε ὁ οὐρανός, ψυχή μου,
καὶ σὲ κατέλαβε πείνα Θεοῦ,

---

[165] *Γ΄ Βασ.* 16,29έ: *«Εν ἔτει δευτέρῳ τοῦ Ἰωσαφὰτ βασιλέως Ἰούδα βασιλεύει Ἀχαὰβ υἱὸς Ἀμβρί· ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ εἴκοσι καὶ δύο ἔτη.»* καί κεφ. 17-22: *«καὶ ἀνέβη Ἀμβρὶ καὶ πᾶς Ἰσραὴλ μετ᾽ αὐτοῦ ἐκ Γαβαθὼν καὶ περιεκάθισαν ἐπὶ Θερσά.* [18] *καὶ ἐγενήθη ὡς εἶδε Ζαμβρὶ ὅτι προκατείλημπται αὐτοῦ ἡ πόλις, καὶ πορεύεται εἰς ἄντρον τοῦ οἴκου τοῦ βασιλέως καὶ ἐνεπύρισεν ἐπ᾽ αὐτὸν τὸν οἶκον τοῦ βασιλέως καὶ ἀπέθανεν* [19] *ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐποίησε, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου πορευθῆναι ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσραήλ.* [20] *καὶ τὰ λοιπὰ τῶν λόγων Ζαμβρὶ καὶ τὰς συνάψεις αὐτοῦ, ἃς συνῆψεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;* [21] *Τότε μερίζεται ὁ λαὸς Ἰσραήλ· ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω Θαμνὶ υἱοῦ Γωνὰθ τοῦ βασιλεῦσαι αὐτόν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω Ἀμβρί.* [22] *ὁ λαὸς ὁ ὢν ὀπίσω Ἀμβρὶ ὑπερεκράτησε τὸν λαὸν τὸν ὀπίσω Θαμνὶ υἱοῦ Γωνάθ, καὶ ἀπέθανε Θαμνὶ καὶ Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἐβασίλευσεν Ἀμβρὶ μετὰ Θαμνί.».*

[166] *Δ΄ Βασ.* 1,9-12: *«καὶ ἀπέστειλε πρὸς αὐτὸν πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη πρὸς αὐτόν, καὶ ἰδοὺ Ἠλιοὺ ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν· ἄνθρωπε τοῦ Θεοῦ, ὁ βασιλεὺς ἐκάλεσέ σε, κατάβηθι.* [10] *καὶ ἀπεκρίθη Ἠλιού, καὶ εἶπε πρὸς τὸν πεντηκόνταρχον· καὶ εἰ ἄνθρωπος Θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ.* [11] *καὶ προσέθετο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλλον πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν· ἄνθρωπε τοῦ Θεοῦ, τάδε λέγει ὁ βασιλεύς· ταχέως κατάβηθι.* [12] *καὶ ἀπεκρίθη Ἠλιοὺ καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν· εἰ ἄνθρωπος Θεοῦ ἐγώ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐξ οὐρανοῦ καὶ κατέφαγε αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ».*

*ὅτε τοῖς Ἠλιοὺ τοῦ Θεσβίτου*
*ὡς ὁ Ἀχαὰβ*
*ἠπείθησας λόγοις ποτέ.*
*Ἀλλὰ τὴν Σαραφθίαν μιμουμένη*
*θρέψον Προφήτου ψυχήν*[167].

*16. Τοῦ Μανασσῆ*[168] *ἐπεσώρευσας*

γιατὶ ἀπείθησες στὰ λόγια
τοῦ Ἠλία τοῦ Θεσβίτη,
ὅπως παλιὰ ὁ Ἀχαάβ.
Ὅμως τώρα μιμήσου τὴ Σαραφθία
καὶ θρέψε τοῦ Προφήτη τὴν ψυχή.

16. Τοῦ Μανασσῆ τὰ ἁμαρτήματα

---

[167] *Γ΄ Βασ.* 17,1-6: *«ΚΑΙ εἶπεν Ἠλιοὺ ὁ προφήτης Θεσβίτης ὁ ἐκ Θεσβῶν τῆς Γαλαὰδ πρὸς Ἀχαάβ· ζῇ Κύριος ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς Ἰσραήλ, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετός, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου. [2] καὶ ἐγένετο ρῆμα Κυρίου πρὸς Ἠλιού· [3] πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς καὶ κρύβηθι ἐν τῷ χειμάρρῳ Χορρὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου· [4] καὶ ἔσται ἐκ τοῦ χειμάρρου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ. [5] καὶ ἐποίησεν Ἠλιοὺ κατὰ τὸ ρῆμα Κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάρρῳ Χορρὰθ ἐπὶ προσώπου τοῦ Ἰορδάνου. [6] καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωῒ καὶ κρέα τὸ δείλης, καὶ ἐκ τοῦ χειμάρρου ἔπινεν ὕδωρ.»* καί 9-16: *«ἀνάστηθι καὶ πορεύου εἰς Σαρεπτὰ τῆς Σιδωνίας· ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε. [10] καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σαρεπτὰ καὶ ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως, καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα· καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπεν αὐτῇ· λαβὲ δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος καὶ πίομαι. [11] καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ καὶ εἶπε· λήψη δή μοι ψωμὸν ἄρτου τοῦ ἐν τῇ χειρί σου. [12] καὶ εἶπεν ἡ γυνή· ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας ἀλλ᾿ ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ· καὶ ἰδοὺ ἐγὼ συλλέξω δύο ξυλάρια καὶ εἰσελεύσομαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα καὶ ἀποθανούμεθα. [13] καὶ εἶπε πρὸς αὐτὴν Ἠλιού· θάρσει, εἴσελθε καὶ ποίησον κατὰ τὸ ρῆμά σου· ἀλλὰ ποίησόν μοι ἐκεῖθεν ἐγκρυφίαν μικρὸν καὶ ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ᾿ ἐσχάτῳ· [14] ὅτι τάδε λέγει Κύριος· ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει ἕως ἡμέρας τοῦ δοῦναι Κύριον τὸν ὑετὸν ἐπὶ τῆς γῆς. [15] καὶ ἐπορεύθη ἡ γυνή, καὶ ἐποίησε· καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς καὶ τὰ τέκνα αὐτῆς. [16] καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη κατὰ τὸ ρῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιού».*

[168] *Δ΄ Βασ.* 21,1-10: *«ΥΙΟΣ δώδεκα ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ὀψιβά. [2] καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ, [3] καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλά, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστήριον τῇ Βάαλ καὶ ἐποίησε τὰ ἄλση, καθὼς ἐποίησε Ἀχαὰβ βασιλεὺς Ἰσραήλ, καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς. [4] καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ Κυρίου, ὡς εἶπεν· ἐν Ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου, [5] καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου [6] καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρὶ καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο καὶ ἐποίησε τεμένη καὶ γνώστας ἐπλήθυνε τοῦ ποιεῖν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου παροργίσαι αὐτόν. [7] καὶ ἔθηκε τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ, ᾧ εἶπε Κύριος πρὸς Δαυὶδ καὶ πρὸς Σαλωμὼν τὸν υἱὸν αὐτοῦ· ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν Ἱερουσαλήμ, ἣ ἐξελεξάμην ἐκ πασῶν φυλῶν τοῦ Ἰσραήλ, καὶ θήσω τὸ ὄνομά μου εἰς τὸν αἰῶνα [8] καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν, οἵτινες φυλάξουσι πάντα ὅσα ἐνετειλάμην κατὰ πᾶσαν τὴν ἐντολήν, ἣν ἐνετείλατο αὐτοῖς ὁ*

*τὰ ἐγκλήματα τῇ προαιρέσει,*
*στήσασα ὡς βδελύγματα πάθη*
*καὶ πληθύνουσα,*
*ψυχή, προσοχθίσματα·*
*Ἀλλ᾽ αὐτοῦ τὴν μετάνοιαν ζηλοῦσα θερμῶς*
*κτῆσαι κατάνυξιν.*

μὲ τὴν προαίρεσή σου ἐπισώρευσες.
Ἔστησες ἀντὶ γιὰ εἴδωλα τὰ πάθη
καὶ πλήθυνες, ψυχή,
τὰ ὁμοιώματα τῶν ψεύτικων θεῶν.
Ὅμως τώρα μιμήσου μὲ θέρμη καὶ τὴ μετάνοια ποὺ
καὶ γίνε πλούσια σὲ κατάνυξη. [ἔδειξε

*17. Προσπίπτω σοι καὶ προσάγω σοι*
*ὥσπερ δάκρυα τὰ ρήματά μου·*
*Ἥμαρτον ὡς ἥμαρτε Πόρνη*[169]
*καὶ ἠνόμησα*
*ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς.*
*Ἀλλ᾽ οἰκτείρησον, Δέσποτα, τὸ ποίημά σου*
*καὶ ἀνακάλεσαί με.*

17. Πέφτω στὰ πόδια Σου! Καὶ Σοῦ προσφέρω
γιὰ δάκρυα τὰ λόγια μου:
Ἁμάρτησα ὅπως ἁμάρτησε ἡ Πόρνη.
Κι ἀθέτησα τὸν νόμο Σου,
ὅσο κανεὶς ἄλλος στὴ γῆ.
Ἀλλὰ λυπήσου, Κύριε, τὸ πλάσμα Σου
καὶ ξαναφέρε με κοντά Σου.

*18. Κατέχρωσα τὴν εἰκόνα σου*[170]
*καὶ παρέφθειρα τὴν ἐντολήν σου·*
*ὅλον ἀπημαυρώθη τὸ κάλλος*
*καὶ τοῖς πάθεσιν*

18. Κηλίδωσα τὴν εἰκόνα Σου
κι ἀτίμασα τὴν ἐντολή Σου.
Τὸ κάλλος ὁλόκληρο ἀμαυρώθηκε
καὶ μὲ τὰ πάθη

---

*δοῦλός μου Μωυσῆς. [9] καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἠφάνισε Κύριος ἐκ προσώπου υἱῶν Ἰσραήλ».*

[169] *Λουκ.* 7,36-50: «*[36] Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη. [37] καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου [38] καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ. [39] ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. [40] καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι· διδάσκαλε, εἰπέ. [41] δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. [42] μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο· τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον αὐτὸν ἀγαπήσει; [43] ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· ὀρθῶς ἔκρινας. [44] καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. [45] φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθεν οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. [46] ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. [47] οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. [48] εἶπε δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι. [49] καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; [50] εἶπε δὲ πρὸς τὴν γυναῖκα· ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην*».

[170] *Γεν.* 2,17: «*ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε*».

| | |
|---|---|
| *ἐσβέσθη, Σωτήρ, ἡ λαμπάς.*<br>*Ἀλλ᾽ οἰκτείρας ἀπόδος μοι, ὡς ψάλλει*<br>*Δαυῒδ, τὴν ἀγαλλίασιν.* | σβήστηκε, Σωτήρα, ἡ λαμπάδα.<br>Λυπήσου με, λοιπόν, καί, ὅπως ψάλλει ὁ Δαβίδ,<br>δῶσ᾽ μου τὴν ἀγαλλίαση. |
| *19. Ἐπίστρεψον, μετανόησον,*<br>*ἀνακάλυψον τὰ κεκρυμμένα·*<br>*λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι·*<br>*Σὺ γινώσκεις μου*<br>*τὰ κρύφια, μόνε Σωτήρ·*<br>*καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαυῒδ,*<br>*κατὰ τὸ ἔλεός σου*[171]*.* | 19. Γύρισε! Μετανόησε!<br>Φανέρωσε ὅ,τι ἔχεις μέσα σου.<br>Λέγε στὸν Θεὸ ποὺ τὰ πάντα γνωρίζει:<br>Σὺ μόνο ξέρεις<br>τ᾽ ἀπόκρυφα τῆς καρδιᾶς μου, Σωτήρα.<br>Καὶ Σὺ ἐλέησέ με, ὅπως ψάλλει ὁ Δαβίδ,<br>κατὰ τὸ ἔλεός Σου. |
| *20. Ἐξέλιπον αἱ ἡμέραι μου*<br>*ὡς ἐνύπνιον ἐγειρομένου·*<br>*ὅθεν ὡς Ἐζεκίας δακρύω*<br>*ἐπὶ κλίνης μου,*<br>*προσθεῖναί μοι χρόνους ζωῆς.*<br>*Ἀλλὰ τίς Ἠσαΐας παραστήσεταί σοι,*<br>*ψυχή,*<br>*εἰ μὴ ὁ πάντων Θεός;*[172] | 20. Τέλειωσαν οἱ μέρες τῆς ζωῆς μου,<br>ὅπως τὸ ὄνειρο ἐκείνου ποὺ ξυπνᾶ.<br>Ἔτσι, ὅπως ὁ Ἐζεκίας, κλαίω<br>πάνω στὸ κρεβάτι μου<br>νὰ μοῦ προσθέσει ὁ Θεὸς χρόνια ζωῆς.<br>Ἀλλὰ ποιός Ἠσαΐας νὰ σοῦ παρασταθεῖ, ψυχή,<br>παρὰ τῶν ὅλων ὁ Θεός; |
| Δόξα. | Δόξα στὸν Πατέρα... |
| *21. Τριὰς ἁπλῆ, ἀδιαίρετε,*<br>*ὁμοούσιε καὶ φύσις μία,*<br>*φῶτα καὶ φῶς, καὶ ἅγια τρία,*<br>*καὶ ἓν ἅγιον*<br>*ὑμνεῖται Θεὸς ἡ Τριάς.*<br>*Ἀλλ᾽ ἀνύμνησον, δόξασον ζωὴν καὶ ζωάς,*<br>*ψυχή, τὸν πάντων Θεόν.* | 21. Τριάδα ἁπλὴ καὶ ἀδιαίρετη,<br>μία οὐσία καὶ μία φύση·<br>φῶτα καὶ φῶς, τρία ἅγια πρόσωπα<br>καὶ μία ἅγια φύση<br>ὑμνεῖται ἡ Τριάδα Θεός.<br>Ἀλλὰ πλέξε ἐγκώμια καὶ δοξολογίες, ψυχή, στὴ μία καὶ στὶς τρεῖς ζωές, τὸν Θεὸ τῶν ὅλων. |

---

[171] *Δαν. Σω*, 42: *«ἀνεβόησε δὲ φωνῇ μεγάλῃ Σωσάννα καὶ εἶπεν· ὁ Θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν»* καί *Ψαλμ*. 50,3: *«ΕΛΕΗΣΟΝ με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·»*.

[172] *Ψαλμ*. 101,4: *«ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.»*, *Ψαλμ*. 72,20: *«ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.»* καί *Δ΄ Βασ*. 20,3-6: *«πλὴν ἐν τῇ ἁμαρτίᾳ Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ, ἐκολλήθη, οὐκ ἀπέστη ἀπ᾽ αὐτῆς. [4] καὶ Μωσὰ βασιλεὺς Μωὰβ ἦν νωκήδ, καὶ ἐπέστρεφε τῷ βασιλεῖ Ἰσραὴλ ἐν τῇ ἐπαναστάσει ἑκατὸν χιλιάδας ἀρνῶν καὶ ἑκατὸν χιλιάδας κριῶν ἐπὶ πόκων. [5] καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Ἀχαὰβ καὶ ἠθέτησε βασιλεὺς Μωὰβ ἐν βασιλεῖ Ἰσραήλ. [6] καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰωρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ Σαμαρείας καὶ ἐπεσκέψατο τὸν Ἰσραήλ·»*.

Καὶ νῦν. Θεοτοκίον.

*22. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε,*
*προσκυνοῦμέν σε, Θεογεννῆτορ,*
*ὅτι τῆς ἀχωρίστου Τριάδος*
*ἀπεκύησας*
*τὸν ἕνα Υἱὸν καὶ Θεόν·*
*καὶ αὐτὴ προανέῳξας ἡμῖν*
*τοῖς ἐν γῇ τὰ ἐπουράνια.*

Καὶ τώρα... Θεοτοκίο.

22. Σὲ ὑμνοῦμε. Σ᾽ εὐλογοῦμε
καὶ σὲ προσκυνοῦμε, Θεογεννήτρια,
γιατὶ ἀπ᾽ τὴν ἀχώριστη Τριάδα
γέννησες
τὸν Ἕνα, τὸν Υἱὸ καὶ Θεό.
Καὶ σὺ πρώτη ἄνοιξες σ᾽ ἐμᾶς,
τὰ πλάσματα τῆς γῆς, τὰ ἐπουράνια.

Ὠιδὴ η΄. Ὁ Εἱρμός.

*«Ὃν Στρατιαὶ Οὐρανῶν δοξάζουσι*
*» καὶ φρίττει τὰ Χερουβὶμ*
*» καὶ τὰ Σεραφίμ,*
*» πᾶσα πνοὴ καὶ κτίσις,*
*» ὑμνεῖτε, εὐλογεῖτε*
*» καὶ ὑπερυψοῦτε*
*» εἰς πάντας τοὺς αἰῶνας*[173].

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Κεῖνον ποὺ οἱ στρατιὲς τῶν οὐρανῶν δοξάζουν
καὶ τρέμουν τὰ Χερουβὶμ
καὶ τὰ Σεραφίμ,
καθετὶ ποὺ ἀναπνέει καὶ ἡ κτίση ὁλάκερη·
ὑμνεῖτε, εὐλογεῖτε
καὶ διατηρεῖτε στὰ ὕψη τοῦ πνεύματός σας
ἀκατάπαυστα.

*1. Ἡμαρτηκότα, Σωτήρ, ἐλέησον·*
*διέγειρόν μου τὸν νοῦν*
*πρὸς ἐπιστροφήν·*
*δέξαι μετανοοῦντα,*
*οἰκτείρησον βοῶντα·*
*Ἥμαρτόν σοι μόνῳ,*
*ἠνόμησα, ἐλέησόν με.*

1. Ἐμένα ποὺ ἁμάρτησα, Σωτήρα μου, ἐλέησε.
Τὸν νοῦ μου παρακίνησε νὰ θελήσει
νὰ ἐπιστρέψω κοντά Σου.
Δέξε με τώρα ποὺ μετανοῶ.
Δεῖξε εὐσπλαχνία σὲ μένα ποὺ Σοῦ φωνάζω
Ἁμάρτησα σὲ Σένα μόνο! [δυνατά:
Παρέβηκα τὸν Νόμο! Ἐλέησέ με.

*2. Ὁ διφρηλάτης Ἠλίας ἅρματι*[174]
*ταῖς ἀρεταῖς ἐπιβὰς*
*ὡς εἰς Οὐρανοὺς*
*ἤγετο ὑπεράνω*
*ποτὲ τῶν ἐπιγείων·*
*τούτου οὖν, ψυχή μου,*
*τὴν ἄνοδον ἀναλογίζου.*

2. Ὁ ἁρματηλάτης Ἠλίας ποὺ ἀνέβηκε
στὸ ἅρμα τῶν ἀρετῶν,
τὸ ὁδηγοῦσε τότε
πάνω ἀπὸ τὰ ἐπίγεια
πρὸς τοὺς οὐρανούς.
Τοῦ Προφήτη, ψυχή μου,
ν᾽ ἀναλογίζεσαι τὴν ἄνοδο.

*3. Τοῦ Ἰορδάνου τὸ ῥεῖθρον πρότερον*
*τῇ μηλωτῇ Ἠλιοὺ*

3. Τοῦ Ἰορδάνη τὰ νερὰ τότε
χωρίστηκαν ἀπ᾽ τὴ μιὰ κι ἀπ᾽ τὴν ἄλλη

---

[173] *Δαν. Ὕμνος*, 34.

[174] *Δ΄ Βασ.* 2,11: *«καὶ ἐγένετο αὐτῶν πορευομένων, ἐπορεύοντο καὶ ἐλάλουν· καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς καὶ διέστειλαν ἀνὰ μέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν».*

*δι᾽ Ἐλισσαιὲ*[175]
*ἔστη ἔνθα καὶ ἔνθα·*
*αὐτὴ δέ, ὦ ψυχή μου,*
*ταύτης οὐ μετέσχες*
*τῆς χάριτος δι᾽ ἀκρασίαν.*

*4. Ὁ Ἐλισσαῖός ποτε δεξάμενος*
*τὴν μηλωτὴν Ἠλιοὺ*[176]
*ἔλαβε διπλῆν*
*χάριν παρὰ Κυρίου·*
*αὐτὴ δέ, ὦ ψυχή μου,*
*ταύτης οὐ μετέσχες*
*τῆς χάριτος δι᾽ ἀκρασίαν.*

*5. Ἡ Σωμανῖτίς*[177] *ποτε τὸν δίκαιον*
*ἐξένισεν, ὦ ψυχή,*
*γνώμῃ ἀγαθῇ·*
*σὺ δὲ οὐκ εἰσῳκίσω*
*οὐ ξένον οὐχ ὁδίτην·*
*ὅθεν τοῦ νυμφῶνος*
*ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.*

*6. Τοῦ Γιεζῆ*[178] *ἐμιμήσω, τάλαινα,*

μὲ τὴν προβιὰ τοῦ Ἠλία
γιὰ χάρη τοῦ Ἐλισαίου.
Σὺ ὅμως, ψυχή μου,
δὲν ἀπέχτησες τὴ χάρη τούτη
γιατὶ δὲν ἐγκρατεύτηκες.

4. Ὁ Ἐλισαῖος ὅταν δέχτηκε
τὴν προβιὰ τοῦ Ἠλία,
ἔλαβε χάρη
διπλὴ ἀπὸ τὸν Κύριο.
Σὺ ὅμως, ψυχή μου,
τὴ χάρη τούτη δὲν ἀπέχτησες
γιατὶ δὲν ἐγκρατεύτηκες.

5. Ἡ γυναίκα ἀπ᾽ τὴν πόλη Σουνὰμ κάποτε
φιλοξένησε
τὸν δίκαιο Ἐλισαῖο, ψυχή μου,
μ᾽ ἀγαθὴ διάθεση.
Σὺ ὅμως δὲν ἔμπασες στὸ σπίτι σου οὔτε ξένο
οὔτε στρατοκόπο. Γι᾽ αὐτὸ θὰ πεταχτεῖς ἔξω ἀπ᾽
τὸν νυμφώνα θρηνώντας γοερά.

6. Τοῦ Γιεζῆ μιμήθηκες σ᾽ ὅλη σου τὴ ζωὴ

---

[175] *Δ΄ Βασ.* 2,14: *«καὶ ἔλαβε τὴν μηλωτὴν Ἠλιού, ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὸ ὕδωρ καὶ οὐ διέστη· καὶ εἶπε· ποῦ ὁ Θεὸς Ἠλιοὺ ἀφφώ; καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διερράγησαν ἔνθα καὶ ἔνθα, καὶ διέβη Ἑλισαιέ».*

[176] *Δ΄ Βασ.* 2,9: *«καὶ ἐγένετο ἐν τῷ διαβῆναι αὐτοὺς καὶ Ἠλιοὺ εἶπε πρὸς Ἑλισαιέ· αἴτησαι τί ποιήσω σοι πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ. καὶ εἶπεν Ἑλισαιέ· γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ᾽ ἐμέ».*

[177] *Δ΄ Βασ.* 4,8-10: *«καὶ ἐγένετο ἡμέρα καὶ διέβη Ἑλισαιὲ εἰς Σωμάν, καὶ ἐκεῖ γυνὴ μεγάλη καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον. καὶ ἐγένετο ἀφ᾽ ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτὸν ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν.* [9] *καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς· ἰδοὺ δὴ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ᾽ ἡμᾶς διὰ παντός.* [10] *ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρὸν καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν. καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς καὶ ἐκκλινεῖ ἐκεῖ». Ματθ.* 25,11-12: *«ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν.* [12] *ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς».*

[178] *Δ΄ Βασ.* 5,20-27: *«καὶ εἶπε Γιεζὶ τὸ παιδάριον Ἑλισαιέ· ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ Ναιμὰν τοῦ Σύρου τούτου τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ἃ ἐνήνοχε· ζῇ Κύριος ὅτι εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ καὶ λήψομαι ἀπ᾽ αὐτοῦ τι.* [21] *καὶ ἐδίωξε Γιεζὶ ὀπίσω τοῦ Ναιμάν, καὶ εἶδεν αὐτὸν Ναιμὰν τρέχοντα ὀπίσω αὐτοῦ καὶ ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος εἰς ἀπαντὴν αὐτοῦ καὶ εἶπεν· εἰρήνη·* [22] *ὁ κύριός μου ἀπέστειλέ με λέγων· ἰδοὺ νῦν ἦλθον πρός με δύο παιδάρια ἐξ ὄρους Ἐφραὶμ ἀπὸ τῶν υἱῶν τῶν προφητῶν· δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου καὶ δύο ἀλλασσομένας στολάς.* [23] *καὶ εἶπε· λαβὲ διτάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο*

| | |
|---|---|
| *τὴν γνώμην τὴν ρυπαρὰν* | τὴν ἀκάθαρτη διάθεση, ταλαίπωρη ψυχή μου. |
| *πάντοτε, ψυχή·* | Πέταξε ἀπὸ πάνω σου, ἔστω καὶ στὰ γεράματά |
| *οὗ τὴν φιλαργυρίαν* | σου, τὴ φιλαργυρία ποὺ εἶχε κι ἐκεῖνος. |
| *ἀπώθου κἂν ἐν γήρει·* | Φύγε μακριὰ ἀπ᾽ τὴ φωτιὰ |
| *φεῦγε τῆς γεέννης* | τῆς κολάσεως, ξεκόβοντας ἀπ᾽ τὰ πάθη σου. |
| *τὸ πῦρ ἐκστᾶσα τῶν κακῶν σου.* | |

| | |
|---|---|
| *7. Σὺ τὸν Ὀζίαν*[179]*, ψυχή, ζηλώσασα,* | 7. Τὸν Ὀζία, ψυχή μου, μιμήθηκες. |
| *τὴν τούτου λέπραν ἐν σοὶ* | Γι᾽ αὐτὸ κι ἀπέχτησες |
| *ἔσχες ἐν διπλῷ·* | τὴ λέπρα του διπλή· |
| *ἄτοπα γὰρ λογίζῃ,* | καὶ στὸν λογισμό, ὅπου λογίζεσαι ἄτοπα, |
| *παράνομα δὲ πράττεις·* | καὶ στὸ σῶμα, μὲ τὸ ὁποῖο κάνεις παρανομίες. |
| *ἄφες ἃ κατέχεις* | Ἄφησε ὅ,τι κατέχεις ἄδικα |
| *καὶ πρόσδραμε τῇ μετανοίᾳ.* | καὶ πρόστρεξε στὴ μετάνοια. |

| | |
|---|---|
| *8. Τοὺς Νινευίτας*[180]*, ψυχή, ἀκήκοας* | 8. Γιὰ τοὺς Νινευίτες, ψυχή μου, ἄκουσες, |

*τάλαντα ἀργυρίου ἐν δυσὶ θυλάκοις καὶ δύο ἀλλασσομένας στολὰς καὶ ἔδωκεν ἐπὶ δύο παιδάρια αὐτοῦ. καὶ ἦραν ἔμπροσθεν αὐτοῦ.* [24] *καὶ ἦλθον εἰς τὸ σκοτεινόν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν αὐτῶν καὶ παρέθετο ἐν οἴκῳ καὶ ἐξαπέστειλε τοὺς ἄνδρας.* [25] *καὶ αὐτὸς εἰσῆλθε καὶ παρεστήκει πρὸς τὸν κύριον αὐτοῦ· καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ· πόθεν, Γιεζί; καὶ εἶπε Γιεζί· οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα.* [26] *καὶ εἶπε πρὸς αὐτὸν Ἑλισαιέ· οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ, ὅτε ἐπέστεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συναντήν σοι; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες τὰ ἱμάτια καὶ ἐλαιῶνας καὶ ἀμπελῶνας καὶ πρόβατα καὶ βόας καὶ παῖδας καὶ παιδίσκας·* [27] *καὶ ἡ λέπρα Ναιμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών».*

[179] *Β΄ Παρ.* 26,16-21: «*Καὶ ὡς κατίσχυσεν, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ καταφθεῖραι, καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ καὶ εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων.* [17] *καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ Ἀζαρίας ὁ ἱερεὺς καὶ μετ' αὐτοῦ ἱερεῖς τοῦ Κυρίου ὀγδοήκοντα υἱοὶ δυνατοὶ* [18] *καὶ ἔστησαν ἐπὶ Ὀζίαν τὸν βασιλέα καὶ εἶπαν αὐτῷ· οὐ σοί, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ, ἀλλ' ἢ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις θυμιάσαι· ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ Κυρίου, καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου Θεοῦ.* [19] *καὶ ἐθυμώθη Ὀζίας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιάσαι ἐν τῷ ναῷ, καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς καὶ ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων ἐν οἴκῳ Κυρίου ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων.* [20] *καὶ ἐπέστρεψε πρὸς αὐτὸν Ἀζαρίας ὁ ἱερεὺς ὁ πρῶτος καὶ οἱ ἱερεῖς, καὶ ἰδοὺ αὐτὸς λεπρὸς ἐν τῷ μετώπῳ· καὶ κατέσπευσαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν Κύριος.* [21] *καὶ Ὀζίας ὁ βασιλεὺς ἦν λεπρὸς ἕως ἡμέρας τῆς τελευτῆς αὐτοῦ, καὶ ἐν οἴκῳ ἀφφουσὼθ ἐκάθητο λεπρός, ὅτι ἀπεσχίσθη ἀπὸ οἴκου Κυρίου· καὶ Ἰωάθαμ ὁ υἱὸς αὐτοῦ ἐπὶ τῆς βασιλείας αὐτοῦ κρίνων τὸν λαὸν τῆς γῆς».*

[180] *Ἰω.* 3,5-10: «*ἀπεκρίθη Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.* [6] *τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι.* [7] *μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.* [8] *τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ*

*μετανοοῦντας Θεῷ*
*σάκκῳ καὶ σποδῷ·*
*τούτους οὐκ ἐμιμήσω,*
*ἀλλ᾽ ὤφθης σκαιοτέρα*
*πάντων τῶν πρὸ νόμου*
*καὶ μετὰ νόμον ἐπταικότων.*

πὼς μετανόησαν πρὸς τὸν Θεὸ
μὲ σάκο καὶ μὲ στάχτη.
Ὅμως δὲν τοὺς μιμήθηκες,
ἀλλ᾽ ἀποδείχτηκες χειρότερη
ἀπ᾽ ὅλους ποὺ καὶ πρὶν
καὶ μετὰ τὸν νόμο ἔφταιξαν.

*9. Τὸν ἐν τῷ λάκκῳ βορβόρου ἤκουσας*
*Ἱερεμίαν, ψυχή*[181]*,*
*πόλιν τὴν Σιὼν*
*θρήνοις καταβοῶντα*
*καὶ δάκρυα ζητοῦντα·*
*μίμησαι τὸν τούτου*
*θρηνῴδη βίον καὶ σωθήσῃ.*

9. Γιὰ τὸν Ἱερεμία, ψυχή μου, ἄκουσες
πὼς μέσ᾽ ἀπ᾽ τὸν λάκκο τοῦ βορβόρου
μὲ θρήνους φώναζε
πρὸς τὴν πόλη τῆς Σιὼν
καὶ ζητοῦσε δάκρυα.
Μιμήσου καὶ σὺ
τὴ θρηνώδη ζωή του, καὶ θὰ σωθεῖς.

*10. Ὁ Ἰωνᾶς εἰς Θαρσεῖς ἀπέδραμε*[182]
*προγνοὺς τὴν ἐπιστροφὴν*
*τῶν Νινευιτῶν·*
*ἔγνω γὰρ ὡς προφήτης*
*Θεοῦ τὴν εὐσπλαγχνίαν·*
*ὅθεν παρεζήλου*
*τὴν προφητείαν μὴ ψευσθῆναι.*

10. Ὁ Ἰωνᾶς ἀναχώρησε στὴ Θαρσεὶς
μὲ τὸ νὰ ξέρει τὴν ἐπιστροφὴ
τῶν Νινευιτῶν.
Γνώριζε ὡς Προφήτης
τὴν εὐσπλαχνία τοῦ Θεοῦ.
Γι᾽ αὐτὸ μὲ ζῆλο φρόντιζε
νὰ μὴ διαψευστεῖ ἡ προφητεία.

*11. Τὸν Δανιὴλ ἐν τῷ λάκκῳ ἤκουσας*[183]*,*

11. Γιὰ τὸν Δανιήλ, ψυχή μου, ἄκουσες

---

*ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος.* [9] *ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· πῶς δύναται ταῦτα γενέσθαι;* [10] *ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις;»*.

[181] *Ἱερ.* 45,6: «*καὶ ἔρριψαν αὐτὸν εἰς λάκκον Μελχίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ οὐκ ἦν ὕδωρ ἀλλ᾽ ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ*».

[182] *Ἰων.* 1,3: «*καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου καὶ κατέβη εἰς Ἰόππην καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ᾽ αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου*» καί 3,10: «*καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε*».

[183] *Δαν.* 6,16-18: «*Τότε ὁ βασιλεὺς εἶπε καὶ ἤγαγον τὸν Δανιὴλ καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων· καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· ὁ Θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε.* [17] *καὶ ἤνεγκαν λίθον καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ.* [18] *καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ καὶ ὁ ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ. καὶ ἔκλεισεν ὁ Θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιήλ*». καί 3, *Προσευχὴ Ἀζαρίου* 26: «*καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου*

*πῶς ἔφραξεν, ὦ ψυχή,*
*στόματα θηρῶν·*
*ἔγνωκας πῶς οἱ Παῖδες*
*οἱ περὶ Ἀζαρίαν*
*ἔσβεσαν τῇ πίστει*
*καμίνου φλόγα καιομένης.*

πῶς μὲς στὸν λάκκο ἔφραξε
τὰ στόματα τῶν λιονταριῶν.
Ἀκόμη ἔμαθες, πῶς οἱ τρεῖς νέοι,
ὁ Ἀζαρίας, ὁ Ἀνανίας κι ὁ Μισαήλ,
ἔσβησαν μὲ τὴν πίστη τους
τὴ φλόγα τοῦ ἀναμμένου καμινιοῦ.

*12. Τῆς παλαιᾶς Διαθήκης ἅπαντας*
*παρήγαγόν σοι, ψυχή,*
*πρὸς ὑπογραμμόν·*
*μίμησαι τῶν δικαίων*
*τὰς φιλοθέους πράξεις·*
*ἔκφυγε δὲ πάλιν*
*τῶν πονηρῶν τὰς ἁμαρτίας.*

12. Τῆς Παλαιᾶς Διαθήκης ὅλους τοὺς ἄνδρες
σοῦ τοὺς ἔφερα, ψυχή μου,
γιὰ παράδειγμα.
Μιμήσου τῶν δικαίων
τὶς φιλόθεες πράξεις
κι ἀπόφυγε
τὶς ἁμαρτίες τῶν πονηρῶν.

*13. Δικαιοκρίτα, Σωτήρ, ἐλέησον*
*καὶ ῥῦσαί με τοῦ πυρὸς*
*καὶ τῆς ἀπειλῆς,*
*ἧς μέλλω ἐν τῇ κρίσει*
*δικαίως ὑποστῆναι·*
*ἄνες μοι πρὸ τέλους*
*δι᾽ ἀρετῆς καὶ μετανοίας.*

13. Δίκαιε Κριτὴ καὶ Σωτήρα μου, ἐλέησε
καὶ λύτρωσέ με ἀπ᾽ τὴ φωτιὰ
καὶ τὴν ἀπειλή,
ποὺ πρόκειται τὴ μέρα τῆς κρίσεως
δίκαια νὰ ὑποστῶ.
Λύτρωσέ με πρὶν ἀπ᾽ τὴν τελευταία μου στιγμὴ
μὲ τὴν ἀρετὴ καὶ τὴ μετάνοια.

*14. Ὡς ὁ Ληστὴς ἐκβοῶ σοι τὸ Μνήσθητι·*
*ὡς Πέτρος κλαίω πικρῶς·*
*Ἄνες μοι, Σωτήρ,*
*κράζω ὡς ὁ Τελώνης·*
*δακρύω ὡς ἡ Πόρνη·*
*δέξαι μου τὸν θρῆνον,*
*καθὼς ποτε τῆς Χαναναίας*[184]*.*

14. Ὅπως ὁ ληστὴς Σοῦ φωνάζω δυνατὰ τὸ «Μνήσθητι».
Ὅπως ὁ Πέτρος κλαίω πικρά.
Ὅπως ὁ Τελώνης κράζω:
«Λύτρωσέ με, Σωτήρα μου».
Ὅπως ἡ Πόρνη δακρύζω.
Καὶ ὅπως παλιὰ τῆς Χαναναίας
δέξου τὸν θρῆνο μου.

---

*διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς».*

[184] *Λουκ. 18,13: «καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Λουκ. 7,38: «καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ». Λουκ. 23,42: «καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου». Ματθ. 26,75: «καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ρήματος Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς». Ματθ. 15,22: «καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγαζεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται».*

*15. Τὴν σηπεδόνα[185], Σωτήρ, θεράπευσον*
*τῆς ταπεινῆς μου ψυχῆς,*
*μόνε ἰατρέ·*
*μάλαγμά μοι ἐπίθες*
*καὶ ἔλαιον καὶ οἶνον,*
*ἔργα μετανοίας,*
*κατάνυξιν μετὰ δακρύων.*

15. Τὴ σαπίλα γιάτρεψε
τῆς ταπεινῆς μου ψυχῆς, Σωτήρα μου,
Σὺ ὁ μοναδικὸς γιατρός.
Βάλε μου κατάπλασμα
καὶ λάδι καὶ κρασὶ
ἔργα μετανοίας,
κατάνυξη καὶ δάκρυα.

*16. Τὴν Χαναναίαν κἀγὼ μιμούμενος,*
*Ἐλέησόν με, βοῶ,*
*τῷ Υἱῷ Δαυΐδ·*
*ἅπτομαι τοῦ κρασπέδου*
*ὡς ἡ Αἱμορροοῦσα·*
*κλαίω ὡς ἡ Μάρθα*
*καὶ Μαρία ἐπὶ Λαζάρου[186].*

16. Τῆς Χαναναίας τὸ παράδειγμα κι ἐγὼ ἀντιγρά-
φωνάζω δυνατὰ πρὸς τὸν Γιὸ τοῦ Δαβίδ:
[φοντας,
«Ἐλέησέ με». Ἀκουμπῶ στὴν ἄκρη τοῦ ἐνδύματος,
ὅπως ἡ Αἱμορροοῦσα.
Κλαίω ὅπως ἡ Μάρθα
καὶ ἡ Μαρία γιὰ τὸν Λάζαρο.

*17. Τὸ τῶν δακρύων, Σωτήρ, ἀλάβαστρον*
*ὡς μύρον κατακενῶν*
*ἐπὶ κεφαλῆς*
*κράζω σοι ὡς ἡ Πόρνη*
*τὸν ἔλεον ζητοῦσα·*
*δέησιν προσάγω*
*καὶ ἄφεσιν αἰτῶ λαβεῖν με[187].*

17. Ἀδειάζοντας στὸ κεφάλι Σου ἐπάνω,
Σωτήρα μου, ὡς μύρο
τὸ ἀλάβαστρο τῶν δακρύων μου,
Σοῦ φωνάζω δυνατὰ ὅπως ἡ Πόρνη,
ζητώντας τὴ συμπάθειά Σου.
Σοῦ προσφέρω τὴ δέησή μου
καὶ ζητῶ νὰ λάβω τὴν ἄφεση.

*18. Εἰ καὶ μηδεὶς ὡς ἐγώ σοι ἥμαρτεν,*
*ἀλλ᾽ ὅμως δέξαι κἀμέ,*
*εὔσπλαγχνε Σωτήρ,*
*φόβῳ μετανοοῦντα*
*καὶ πόθῳ κεκραγότα·*
*Ἥμαρτόν σοι μόνῳ,*
*ἠνόμησα, ἐλέησόν με.*

18. Ἂν καὶ κανείς, ὅπως ἐγώ, δὲν ἁμάρτησε σὲ
Σένα,σπλαχνικὲ Σωτήρα μου,
ὅμως δέξου με
τώρα, ποὺ μετανοῶ μὲ φόβο
καὶ μὲ πόθο ψυχῆς φωνάζω δυνατά:
Ἁμάρτησα σὲ Σένα μόνο!
Ἀθέτησα τὸν Νόμο! Ἐλέησέ με.

---

[185] *Λουκ.* 10,34: *«καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ·».*

[186] *Ματθ.* 15,22: *«καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγαζεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Μάρκ.* 5,28: *«ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι». Ἰω.* 11,21· 32-33: «[21] Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν. · [32] καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. [33] ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν».

[187] *Ματθ.* 26,7: *«προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου».*

*19. Φεῖσαι, Σωτήρ, τοῦ ἰδίου πλάσματος*
*καὶ ζήτησον ὡς ποιμὴν*
*τὸ ἀπολωλὸς*
*πρόβατον· πλανηθέντα*
*ἐξάρπασον τοῦ λύκου,*
*ποίησόν με θρέμμα*
*ἐν τῇ νομῇ τῶν σῶν προβάτων*[188].

19. Λυπήσου, Σωτήρα, τὸ δικό Σου πλάσμα.
Καὶ σὰν ποιμένας ἀναζήτησε
τὸ χαμένο πρόβατο.
Ἐμένα ποὺ πλανήθηκα,
γλίτωσέ με ἀπ᾽ τοῦ λύκου τὰ δόντια.
Κάνε κι ἐγὼ νὰ τρέφομαι
ἀπ᾽ τὸ λιβάδι τῶν δικῶν Σου προβάτων.

*20. Ὅταν Κριτὴς καθίσῃς ὡς*
*εὔσπλαγχνος*
*καὶ δείξῃς τὴν φοβερὰν*
*δόξαν σου Χριστέ,*
*ὢ ποῖος φόβος τότε!*
*καμίνου καιομένης,*
*πάντων δειλιώντων*
*τὸ ἄστεκτον τοῦ βήματός σου*[189].

20. Ὅταν θὰ καθίσεις ὡς σπλαχνικὸς Κριτὴς
καὶ θὰ δείξεις, Χριστέ μου,
τὴ φοβερὴ δόξα Σου,
τί φόβος τότε ἀνέκφραστος
ἀπ᾽ τὸ καμίνι ποὺ θὰ καίει!
Ὅλοι θὰ τρέμουν
γιατὶ δὲν θὰ μποροῦν νὰ ὑποφέρουν τὸ κριτήριό
Σου.

*Εὐλογοῦμεν Πατέρα,*
*Υἱὸν καὶ ἅγιον Πνεῦμα.*

Εὐλογοῦμε τὸν Πατέρα,
τὸν Υἱὸ καὶ τὸ Ἅγιο Πνεῦμα, τὸν ἕνα Κύριο.

*21. Ἄναρχε Πάτερ, Υἱὲ συνάναρχε,*
*Παράκλητε ἀγαθέ,*
*Πνεῦμα τὸ εὐθές,*
*Λόγου Θεοῦ Γεννῆτορ,*
*Πατρὸς ἀνάρχου Λόγε,*

21. Πατέρα ἄναρχε, Υἱὲ συνάναρχε,
Παράκλητε ἀγαθέ, τὸ εὐθὲς Πνεῦμα· Πατέρα,
Γεννήτορα τοῦ Θεοῦ Λόγου, Λόγε τοῦ ἀνάρχου
Πατέρα, Πνεῦμα ζωντανὸ καὶ δημιουργικό,
Τριάδα καὶ Μονάδα, ἐλέησέ με.

---

188 *Ματθ.* 18,12-14: *«Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; 13 καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. 14 οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων». Ἰω.* 10,11: *«ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·».*

189 *Λουκ.* 1,26-35: *«Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ,* [27] *πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυΐδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ.* [28] *καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν εἶπε· χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν.* [29] *ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.* [30] *καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ.* [31] *καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.* [32] *οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυΐδ τοῦ πατρὸς αὐτοῦ,* [33] *καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.* [34] *εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;* [35] *καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ».*

*Πνεῦμα ζῶν καὶ κτίζον,*
*Τριὰς Μονάς, ἐλέησόν με.*

Καὶ νῦν. Θεοτοκίον.

*22. Ὡς ἐκ βαφῆς ἁλουργίδος, Ἄχραντε,*
*ἡ νοητὴ πορφυρὶς*
*τοῦ Ἐμμανουὴλ*
*ἔνδον ἐν τῇ γαστρί σου*
*ἡ σὰρξ συνεξυφάνθη·*
*ὅθεν Θεοτόκον*
*ἐν ἀληθείᾳ σὲ τιμῶμεν.*

Καὶ τώρα... Θεοτοκίο.

22. Σὰν ἀπὸ βαφὴ ἁλουργίδας, Ἄχραντε,
ἡ νοητὴ πορφύρα,
τὸ σῶμα τοῦ Ἐμμανουήλ,
ὑφάνθηκε μὲ τὸ δικό σου
μέσα στὴν κοιλιά σου.
Γι᾽ αὐτὸ καὶ ὡς Θεοτόκο
ἀληθινὰ σὲ τιμοῦμε.

Ὠιδὴ θ΄. Ὁ Εἰρμός.

*«Ἀσπόρου συλλήψεως*
*» ὁ τόκος ἀνερμήνευτος,*
*» Μητρὸς ἀνάνδρου*
*» ἄφθορος ἡ κύησις·*
*» Θεοῦ γὰρ ἡ γέννησις*
*» καινοποιεῖ τὰς φύσεις·*
*» διό σε πᾶσαι αἱ γενεαὶ*
*» ὡς Θεόνυμφον Μητέρα*
*» ὀρθοδόξως μεγαλύνομεν*[190].

Ὠδὴ θ΄. Εἰρμός.

Τῆς χωρὶς σπέρμα σύλληψης
εἶναι καὶ ἡ γέννα ἀνερμήνευτη.
Τῆς Μητέρας ποὺ δὲν γνώρισε ἄνδρα
εἶναι καὶ ἡ κυοφορία ἄφθορη.
Ὁ Θεὸς ποὺ γεννήθηκε
δημιουργεῖ νέους ὅρους στὶς φύσεις.
Γι᾽ αὐτὸ ὅλες οἱ γενεὲς τῶν ἀνθρώπων
σὲ δοξάζουν ὀρθόδοξα
ὡς Θεόνυμφη Μητέρα.

*1. Ὁ νοῦς τετραυμάτισται,*
*τὸ σῶμα μεμαλάκισται,*
*νοσεῖ τὸ πνεῦμα·*
*ὁ λόγος ἠσθένησεν,*
*ὁ βίος νενέκρωται,*
*τὸ τέλος ἐπὶ θύραις·*
*διό μοι, τάλαινα ψυχή,*
*τί ποιήσεις, ὅταν ἔλθῃ*
*ὁ Κριτὴς ἀνερευνῆσαι τὰ σά;*

1. Ὁ νοῦς μου τραυματισμένος,
τὸ σῶμα ἐξασθενημένο,
τὸ πνεῦμα μου νοσεῖ.
Ἡ φωνή μου ἀτόνησε,
ἡ ζωή μου νεκρώθηκε,
ἔρχετ᾽ ὁ θάνατος.
Γι᾽ αὐτό, ταλαίπωρη ψυχή,
τί θὰ κάνεις, ὅταν θὰ ἔρθει
ὁ Κριτὴς νὰ ἐξετάσει τὰ ἔργα σου;

*2. Μωσέως παρήγαγον*[191]*,*
*ψυχή, τὴν κοσμογένεσιν*
*καὶ ἐξ ἐκείνου*
*πᾶσαν ἐνδιάθετον*
*γραφὴν ἱστοροῦσάν σοι*

2. Τοῦ Μωυσῆ ἔφερα μπροστά σου,
ψυχή μου, τὴν περιγραφὴ τῆς δημιουργίας τοῦ [κόσμου.
Καὶ ἀπὸ κεῖνον ἔλαβα
κάθε σημαντικὴ γραφὴ
ποὺ ἐξιστορεῖ τὴ ζωὴ

[190] Ὁ.π.
[191] *Γεν.* 1,1: *«Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν».*

*δικαίους καὶ ἀδίκους·*
*ὧν τοὺς δευτέρους, ὦ ψυχή,*
*ἐμιμήσω, οὐ τοὺς πρώτους,*
*εἰς Θεὸν ἐξαμαρτήσασα.*

ἀνδρῶν δικαίων καὶ ἁμαρτωλῶν.
Ἀπ᾽ αὐτούς, ψυχή μου, μιμήθηκες
τοὺς δεύτερους κι ὄχι τοὺς πρώτους.
Ἔτσι ἁμάρτησες πρὸς τὸν Θεό.

*3. Ὁ Νόμος ἠσθένησεν,*
*ἀργεῖ τὸ Εὐαγγέλιον,*
*Γραφὴ δὲ πᾶσα*
*ἐν σοὶ παρημέληται,*
*Προφῆται ἠτόνησαν*
*καὶ πᾶς δικαίου λόγος·*
*αἱ τραυματίαι σου, ὦ ψυχή,*
*ἐπληθύνθησαν, οὐκ ὄντος*
*ἰατροῦ τοῦ ὑγιοῦντός σε.*

3. Ὁ Νόμος ἀδράνησε.
Τὸ Εὐαγγέλιο δὲν κάνει τίποτε.
Ὁλόκληρη ἡ Γραφὴ
στὴ ζωή σου παραμελήθηκε.
Οἱ Προφῆτες ἀτόνησαν
καὶ κάθε δίκαιου ἄνδρα λόγος.
Τὰ τραύματά σου, ψυχή μου,
πλήθυναν, μὴ ἔχοντας
γιατρὸ γιὰ νὰ σὲ θεραπεύσει.

*4. Τῆς Νέας παράγω σοι*
*Γραφῆς τὰ ὑποδείγματα,*
*ἐνάγοντά σε,*
*ψυχή, πρὸς κατάνυξιν·*
*δικαίους οὖν ζήλωσον,*
*ἁμαρτωλοὺς ἐκτρέπου*
*καὶ ἐξιλέωσαι Χριστὸν*
*προσευχαῖς τε καὶ νηστείαις,*
*καὶ ἁγνείᾳ καὶ σεμνότητι.*

4. Ἀπ᾽ τὴν Καινὴ Διαθήκη
φέρνω μπροστά σου, ψυχή μου,
τὰ ὑποδείγματα ποὺ σ᾽ ὁδηγοῦνε
σὲ κατάνυξη.
Προσπάθησε νὰ μιμηθεῖς τοὺς δίκαιους
καὶ ν᾽ ἀποφεύγεις τοὺς ἁμαρτωλούς.
Καὶ νὰ ἐξιλεώσεις τὸν Χριστὸ
μὲ προσευχὲς καὶ νηστεῖες,
μὲ ἁγνότητα καὶ σεμνότητα.

*5. Χριστὸς ἐνηπίασε*
*σαρκὶ προσομιλήσας μοι,*
*καὶ πάντα ὅσα*
*ὑπάρχει τῆς φύσεως,*
*βουλήσει ἐπλήρωσε*
*τῆς ἁμαρτίας δίχα·*
*ὑπογραμμόν σοι, ὦ ψυχή,*
*καὶ εἰκόνα προδεικνύων*
*τῆς αὐτοῦ συγκαταβάσεως*[192].

5. Ὁ Χριστὸς ἔγινε βρέφος.
Μὲ τὸ σῶμα ποὺ πῆρε ἔγινε ὅμοιος μὲ μένα.
Καὶ ὅλα ἐκεῖνα
ποὺ ἀνήκουνε στὴ φύση τὴν ἀνθρώπινη
μὲ τὴ θέλησή Του τὰ ἀνέλαβε,
μ᾽ ἐξαίρεση μόνο τὴν ἁμαρτία.
Ἔτσι, ψυχή μου, σοῦ φανέρωσε
ὑπογραμμὸ καὶ εἰκόνα
τῆς δικῆς Του συγκατάβασης.

*6. Χριστὸς ἐνηνθρώπησε*
*καλέσας εἰς μετάνοιαν,*
*ληστὰς καὶ πόρνας·*
*ψυχὴ μετανόησον,*
*ἡ θύρα ἠνέῳκται*

6. Ὁ Χριστὸς ἔγινε ἄνθρωπος
καὶ κάλεσε σὲ μετάνοια
Ληστὲς καὶ πόρνες.
Ψυχή μου, μετανόησε.
Ἡ θύρα τῆς Βασιλείας

[192] *Α΄ Πέτρ.* 2,21: *«εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ·».*

*τῆς Βασιλείας ἤδη·*
*καὶ προαρπάζουσιν αὐτὴν*
*Φαρισαῖοι καὶ Τελῶναι*
*καὶ μοιχοὶ μεταποιούμενοι*[193].

ἔχει ἤδη ἀνοιχτεῖ.
Καὶ οἱ πρῶτοι ποὺ τὴν κερδίζουν
εἶναι Φαρισαῖοι καὶ Τελῶνες
καὶ μοιχοὶ ποὺ ἀλλάζουν ζωή.

*7. Χριστὸς Μάγους ἔσωσε,*
*Ποιμένας συνεκάλεσε,*
*Νηπίων δήμους*
*ἀπέδειξε Μάρτυρας,*
*Πρεσβύτην ἐδόξασε*
*καὶ γηραλέαν Χήραν·*
*ὧν οὐκ ἐζήλωσας, ψυχή,*
*οὐ τὰς πράξεις, οὐ τὸν βίον·*
*ἀλλ᾽ οὐαί σοι ἐν τῷ κρίνεσθαι*[194]*!*

7. Ὁ Χριστὸς ἔσωσε τοὺς Μάγους.
Κάλεσε κοντά Του τοὺς τσομπάνους.
Πλήθη ἀπὸ νήπια
τ᾽ ἀνέδειξε μάρτυρες.
Δόξασε τὸν γέροντα (Συμεὼν)
καὶ τὴν ἡλικιωμένη χήρα (Ἄννα).
Ὅλων αὐτῶν, ψυχή μου, δὲν μιμήθηκες
οὔτε τὶς πράξεις οὔτε τὸν βίο.
Ἀλλὰ ἀλίμονό σου στὴν ὥρα τῆς κρίσεως!

*8. Νηστεύσας ὁ Κύριος*
*ἡμέρας τεσσαράκοντα*
*ἐν τῇ ἐρήμῳ*[195]*,*
*ὕστερον ἐπείνασε*
*δεικνὺς τὸ ἀνθρώπινον.*

8. Ὁ Κύριος, ὅταν νήστεψε
σαράντα μέρες
στὴν ἔρημο,
ὕστερα πείνασε,
δείχνοντας ὅτι ἦταν κι ἄνθρωπος.

---

[193] *Λουκ.* 23,42-43: *«καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.* [43] *καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Λουκ.* 7,36: *«Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη».*

[194] *Ματθ.* 2,1: *«Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα». Λουκ.* 2,8: *«Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν». Ματθ.* 2,16: *«Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων». Λουκ.* 2,25·35·36-38: *«*[25] *Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱεροσολύμοις ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἦν Ἅγιον ἐπ᾽ αὐτόν·* [35] *καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ρομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* [36] *Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς,* [37] *καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν· 38 καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ».*

[195] *Ματθ.* 4,2: *«καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασε». Λουκ.* 4,1-2: *«Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον* [2] *ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν ὕστερον ἐπείνασε».*

*Ψυχή, μὴ ἀθυμήσῃς·*
*ἄν σοι προσβάλῃ ὁ ἐχθρός,*
*προσευχαῖς τε καὶ νηστείαις*
*ἐκ ποδῶν ἀποκρουσθήτω σοι.*

Καὶ σύ, ψυχή μου, μὴ λιγοψυχήσεις,
ἂν σὲ πειράξει ὁ ἐχθρός.
Μὲ προσευχὲς καὶ μὲ νηστεῖες
διῶξ᾽ τον ἀπὸ κοντά σου.

*9. Χριστὸς ἐπειράζετο,*
*Διάβολος ἐπείραζε*[196]
*δεικνὺς τοὺς λίθους,*
*ἵνα ἄρτοι γένωνται·*
*εἰς ὄρος ἀνήγαγεν*
*ἰδεῖν τὰς βασιλείας*
*τοῦ κόσμου πάσας ἐν ριπῇ.*
*Φοβοῦ, ὦ ψυχή, τὸ δρᾶμα·*
*νῆφε, εὔχου, πᾶσαν ὥραν Θεῷ.*

9. Ὁ Χριστὸς πειραζότανε.
Ὁ Διάβολος πείραζεωδείχνοντας τὶς πέτρες
καὶ ζητώντας νὰ γίνουν ψωμιά.
Σὲ βουνὸ Τὸν ἀνέβασε νὰ δεῖ σὲ ριπὴ ὀφθαλμοῦ
τοῦ κόσμου ὅλα τὰ βασίλεια.
Φοβήσου, ψυχή μου, τὸ συγκλονιστικὸ αὐτὸ
γεγονός, στάσου ἄγρυπνη καὶ προσεύχου κάθε
ὥρα στὸν Θεό.

*10. Τρυγὼν ἡ φιλέρημος,*
*φωνὴ βοῶντος ἤχησε,*
*Χριστοῦ ὁ λύχνος*
*κηρύττων μετάνοιαν·*
*Ἡρῴδης ἠνόμησε*
*σὺν τῇ Ἡρῳδιάδι*[197].

10. Ἡ φιλέρημη τρυγόνα,
τὸ λυχνάρι τοῦ Χριστοῦ,
βρόντηξε μὲ τὴ φωνή του
κηρύττοντας μετάνοια.
Ὁ Ἡρώδης παρανόμησε
μαζὶ μὲ τὴν Ἡρῳδιάδα.

---

[196] *Λουκ.* 4,1-6: *«Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον [2] ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν ὕστερον ἐπείνασε. [3] καὶ εἶπεν αὐτῷ ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. [4] καὶ ἀπεκρίθη ὁ Ἰησοῦς πρὸς αὐτὸν λέγων· γέγραπται ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ρήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. [5] Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου, [6] καὶ εἶπεν αὐτῷ ὁ διάβολος· σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν». Ματθ.* 4,1-4: *«Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, [2] καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασε. [3] καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. [4] ὁ δὲ ἀποκριθεὶς εἶπε· γέγραπται, οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ρήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ»·* 8-10: *«Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν [9] καὶ λέγει αὐτῷ· ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. [10] τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις».*

[197] *Ἰω.* 5,35: *«ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ». Ματθ.* 3,2: *«καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν». Ματθ.* 14,3-4: *«ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. 4 ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν».*

*Βλέπε, ψυχή μου, μὴ παγῇς*
*τῶν ἀνόμων ταῖς παγίσιν,*
*ἀλλ᾽ ἀσπάζου τὴν μετάνοιαν.*

Σὺ ὅμως, ψυχή μου, πρόσεχε μὴν πιαστεῖς
στὶς παγίδες τῶν παραβατῶν τοῦ Νόμου,
ἀλλ᾽ ἀγάπα τὴ μετάνοια.

*11. Τὴν ἔρημον ᾤκησεν*
*ὁ Πρόδρομος τῆς χάριτος·*
*καὶ Ἰουδαία*
*πᾶσα καὶ Σαμάρεια*
*ἀκούοντες ἔτρεχον*
*καὶ ἐξωμολογοῦντο*
*τὰς ἁμαρτίας ἑαυτῶν,*
*βαπτιζόμενοι προθύμως·*
*οὓς αὐτὴ οὐκ ἐμιμήσω, ψυχή*[198].

11. Στὴν ἐρημιὰ κατοίκησε
ὁ Πρόδρομος τῆς χάριτος.
Κι οἱ κάτοικοι ὁλόκληρης
τῆς Ἰουδαίας καὶ τῆς Σαμάρειας
ἀκούοντας ἔτρεχαν
καὶ ἐξομολογοῦνταν
τὶς ἁμαρτίες τους
καὶ πρόθυμα βαφτίζονταν.
Ὅλους αὐτοὺς σύ, ψυχή μου, δὲν μιμήθηκες.

*12. Ὁ γάμος μὲν τίμιος,*
*ἡ κοίτη δὲ ἀμίαντος*[199]*·*
*ἀμφότερα γὰρ*
*Χριστὸς προευλόγησε,*
*σαρκὶ ἑστιώμενος*
*ἐν τῆς Κανᾶ τῷ γάμῳ,*
*τὸ ὕδωρ οἶνον ἐκτελῶν*
*καὶ δεικνύων πρῶτον θαῦμα,*

12. Ὁ γάμος ἂς εἶναι τιμημένος
καὶ τὸ κρεβάτι ἂς φυλάγεται καθαρὸ ἀπὸ κάθε
Καὶ τὰ δυὸ [μολυσμό.
εὐλόγησε πρῶτα ὁ Χριστός,
τρώγοντας στὴν τράπεζα ὡς ἄνθρωπος
στὸν γάμο τῆς Κανᾶ,
ὅπου ἔκανε τὸ νερὸ κρασὶ
καὶ τέλεσε τὸ πρῶτο θαῦμα,

---

[198] *Ματθ.* 3,1-6: *«Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας [2] καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. [3] οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. [4] Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. [5] Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, [6] καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν».*

[199] *Ἑβρ.* 13,4: *«Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός». Ἰω.* 2,1-11: *«Καί τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· [2] ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. [3] καὶ ὑστερήσαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· οἶνον οὐκ ἔχουσι. [4] λέγει αὐτῇ ὁ Ἰησοῦς· τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. [5] λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ὅ,τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. 6 ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. [7] λέγει αὐτοῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. [8] καὶ λέγει αὐτοῖς· ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. καὶ ἤνεγκαν. [9] ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος [10] καὶ λέγει αὐτῷ· πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. [11] Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ».*

*ἵνα σὺ μετατεθῇς, ὦ ψυχή.*

γιὰ νὰ πιστέψεις σύ, ψυχή μου.

*13. Παράλυτον ἔσφιγξε*
*Χριστὸς τὴν κλίνην ἄραντα*
*καὶ νεανίσκον*
*θανόντα ἐξήγειρε,*
*τῆς χήρας τὸ κύημα*
*καὶ τοῦ Ἑκατοντάρχου,*
*καὶ Σαμαρείτιδι φανεὶς*
*τὴν ἐν πνεύματι λατρείαν*
*σοί, ψυχή, προεζωγράφησεν*[200].

13. Ὁ Χριστὸς ἔκανε καλὰ τὸν Παράλυτο
κι αὐτὸς σήκωσε τὸ κρεβάτι του.
Καὶ τὸν νέο,
τὸν γιὸ τῆς χήρας
ποὺ πέθανε, ἀνέστησε
καὶ θεράπευσε τὸν δοῦλο τοῦ Ἑκατοντάρχου.
Καὶ μὲ τὴ Σαμαρείτιδα, ὅταν συναντήθηκε,
τὴν πνευματικὴ λατρεία
γιὰ σένα, ψυχή μου, προσδιόρισε.

*14. Αἱμόρρουν ἰάσατο*
*ἁφῇ κρασπέδου Κύριος·*
*λεπροὺς καθῆρε,*
*τυφλοὺς καὶ χωλεύοντας*
*φωτίσας ἀνώρθωσε,*
*κωφούς τε καὶ ἀλάλους*
*καὶ τὴν συγκύπτουσαν χαμαὶ*
*ἐθεράπευσε τῷ λόγῳ,*
*ἵνα σὺ σωθῇς, ἀθλία ψυχή*[201].

14. Τὴν Αἱμορροούσα ὁ Κύριος θεράπευσε,
ὅταν ἀκούμπησε στὴν ἄκρη τοῦ ἐνδύματος.
Λεπροὺς καθάρισε.
Τυφλοὺς καὶ κουτσοὺς
φώτισε καὶ ἔγιανε.
Ἀκόμη θεράπευσε κουφοὺς καὶ ἀλάλους
καὶ τὴν κυρτωμένη γυναίκα
μὲ τὸν Λόγο Του,
γιὰ νὰ σωθεῖς σὺ πιστεύοντας, ἄθλια ψυχή.

*15. Τὰς νόσους ἰώμενος*
*πτωχοῖς εὐηγγελίζετο*
*Χριστὸς ὁ Λόγος·*

15. Ὁ Χριστός, ὁ Λόγος τοῦ Θεοῦ,
τὶς ἀρρώστιες γιατρεύοντας
κήρυττε τὸ Εὐαγγέλιο στοὺς φτωχούς.

---

[200] Ἰω. 5,8-9: *«λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειρε, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει.* [9] *καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ».* Λουκ. 7,14: *«Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε».* Ματθ. 8,13: *«καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ».* Ἰω. 4,24: *«πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν».*

[201] *Μάρκ.* 5,25-29: *«Καὶ γυνή τις οὖσα ἐν ρύσει αἵματος ἔτη δώδεκα,* [26] *καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα,* [27] *ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ·* [28] *ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι.* [29] *καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος».* Ματθ. 8,1-4: *«Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς·* [2] *σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι·* [3] *καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν ἀπὸ μακρόθεν ἥκασι.* [4] *καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας;».* Ματθ. 11,5: *«καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· τί ποιεῖτε λύοντες τὸν πῶλον;».* Λουκ. 13,12: *«ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου·».*

*κυλλοὺς ἐθεράπευσε,*
*τελώναις συνήσθιεν,*
*ἁμαρτωλοῖς ὡμίλει·*
*τῆς Ἰαείρου θυγατρὸς*
*τὴν ψυχὴν προμεταστᾶσαν*
*ἐπανήγαγεν ἁφῇ τῆς χειρός*[202].

Κουλοὺς θεράπευσε,
μὲ τοὺς Τελῶνες συνέτρωγε
καὶ μὲ τοὺς ἁμαρτωλοὺς ἀναστρεφόταν.
Καὶ τὴν ψυχὴ τῆς κόρης τοῦ Ἰάειρου,
ποὺ εἶχε φύγει ἀπ᾿ τὸ σῶμα,
τὴν ἐπανέφερε μόλις τῆς ἔπιασε τὸ χέρι.

*16. Τελώνης ἐσῴζετο*
*καὶ Πόρνη ἐσωφρόνιζε,*
*καὶ Φαρισαῖος*
*αὐχῶν κατεκρίνετο·*
*ὁ μὲν γάρ, Ἱλάσθητι,*
*ἡ δέ, Ἐλέησόν με·*
*ὁ δὲ ἐκόμπαζε βοῶν·*
*Ὁ Θεὸς εὐχαριστῶ σοι·*
*καὶ ἑξῆς τὰ τῆς ἀνοίας ρητά*[203].

16. Ὁ Τελώνης κέρδιζε τὴ σωτηρία.
Ἡ Πόρνη ἀπαρνιόταν τὴν ἁμαρτωλὴ ζωή.
Κι ὁ Φαρισαῖος ἐπειδὴ
κόμπαζε κατακρινόταν.
Ὁ Τελώνης ἔλεγε «ἱλάσθητι»·
ἡ Πόρνη «ἐλέησόν με».
Κι ὁ Φαρισαῖος φώναζε μὲ κομπορρημοσύνη:
«Ὁ Θεός, εὐχαριστῶ σοι»,
καὶ τ᾿ ἄλλα λόγια τῆς μωρίας του.

*17. Ζακχαῖος Τελώνης ἦν,*
*ἀλλ᾿ ὅμως διεσῴζετο,*
*καὶ Φαρισαῖος*
*ὁ Σίμων ἐσφάλλετο,*
*καὶ Πόρνη ἐλάμβανε*
*τὰς ἀφεσίμους λύσεις*
*παρὰ τοῦ ἔχοντος ἰσχὺν*
*ἀφιέναι ἁμαρτίας·*
*ὅν, ψυχή, σαυτῇ ἱλέωσαι*[204].

17 Ὁ Ζακχαῖος ἦταν Τελώνης
κι ὅμως σώθηκε.
Ὁ Σίμωνας ὁ Φαρισαῖος ἔπεσε σὲ σφάλμα.
Κι ἡ Πόρνη πῆρε ἄφεση γιὰ τὰ κρίματά της
ἀπ᾿ Αὐτὸν ποὺ ἔχει τὴ δύναμη
νὰ συγχωρεῖ ἁμαρτήματα.
Ἐκεῖνον κάνε νὰ φανεῖ, ψυχή, καὶ σὲ σένα
σπλαχνικός.

---

[202] *Λουκ.* 4,18: *«Πνεῦμα Κυρίου ἐπ᾿ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν». Ἠσ.* 11,1: *«Καί ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ρίζης ἀναβήσεται». Μάρκ.* 2,16: *«καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει;». Ματθ.* 9,25: *«ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν».*

[203] *Λουκ.* 7,36: *«Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾿ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη». Λουκ.* 18,11-14: *«ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ὁ Θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· [12] νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. [13] καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾿ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. [14] λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται».*

[204] *Λουκ.* 19,1-9: *«Καί εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ· [2] καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, [3] καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν*

*18. Τὴν Πόρνην*[205]*, ὦ τάλαινα*
*ψυχή μου, οὐκ ἐζήλωσας,*
*ἥτις λαβοῦσα*
*μύρου τὸ ἀλάβαστρον,*
*σὺν δάκρυσιν ἤλειψε*
*τοὺς πόδας τοῦ Κυρίου·*
*ἐξέμαξε δὲ ταῖς θριξί,*
*τῶν ἀρχαίων ἐγκλημάτων*
*τὸ χειρόγραφον ρηγνύντος αὐτῇ.*

18. Τὴν Πόρνη δὲν προσπάθησες νὰ μιμηθεῖς,
ταλαίπωρη ψυχή μου, ποὺ πῆρε
τὸ ἀλάβαστρο τοῦ μύρου κι ἄλειψε μαζὶ μὲ
δάκρυα τὰ πόδια τοῦ Κυρίου
καὶ ὕστερα τὰ σκούπισε μὲ τῆς κεφαλῆς της τὶς τρίχες.
Ἐκείνου ποὺ ᾽σκιζε τὸ γραμμάτιο
μὲ τὶς παλιές της ὀφειλὲς (ἁμαρτίες).

*19. Τὰς πόλεις, αἷς ἔδωκε*
*Χριστὸς τὸ Εὐαγγέλιον,*

19. Γιὰ τὶς πόλεις, ὅπου κήρυξε
ὁ Χριστὸς τὸ Εὐαγγέλιο,

---

*τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν.* [4] *καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι ἐκείνης ἤμελλε διέρχεσθαι.* [5] *καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.* [6] *καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων.* [7] *καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι.* [8] *σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν». Λουκ.* 7,36-50: *«Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη.* [37] *καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου* [38] *καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ.* [39] *ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι.* [40] *καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι· διδάσκαλε, εἰπέ.* [41] *δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.* [42] *μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο· τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον αὐτὸν ἀγαπήσει;* [43] *ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· ὀρθῶς ἔκρινας.* [44] *καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε.* [45] *φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθεν οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας.* [46] *ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας.* [47] *οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.* [48] *εἶπε δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι.* [49] *καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν;* [50] *εἶπε δὲ πρὸς τὴν γυναῖκα· ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην».*

[205] *Λουκ.* 7,37-38: *«καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου* [38] *καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ».*

*ψυχή μου, ἔγνως,*
*ὅπως κατηράθησαν·*
*φοβοῦ τὸ ὑπόδειγμα,*
*μὴ γένῃ ὡς ἐκεῖναι·*
*ταῖς ἐν Σοδόμοις γὰρ αὐτὰς*
*ὁ Δεσπότης παρεικάσας*
*ἕως Ἅιδου κατεδίκασε*[206].

ψυχή μου, ἔμαθες
ὅτι τὶς καταράστηκε.
Νὰ φοβᾶσαι τὸ παράδειγμά τους,
μήπως καὶ σὺ γίνεις ὅπως ἐκεῖνες.
Διότι ὁ ἴδιος ὁ Δεσπότης Χριστός,
συγκρίνοντάς τες μὲ τὶς πόλεις τῶν Σοδόμων,
μέχρι τὸν Ἅδη τὶς καταδίκασε.

*20. Μὴ χείρων, ὦ ψυχή μου,*
*φανῇς δι᾽ ἀπογνώσεως,*
*τῆς Χαναναίας*
*τὴν πίστιν ἀκούσασα,*
*δι᾽ ἧς τὸ θυγάτριον*
*λόγῳ Θεοῦ ἰάθη*[207].
*Υἱὲ Δαυῒδ, σῶσον κἀμέ,*
*ἀναβόησον ἐκ βάθους*
*τῆς καρδίας, ὡς ἐκείνη, Χριστῷ.*

20. Ψυχή μου, μὴ φανεῖς
χειρότερη ἀπ᾽ τὴ Χαναναία
μὲ τὴν ἀπόγνωσή σου.
Ἄκουσες γιὰ τὴν πίστη της,
ὅτι γι᾽ αὐτὴν μὲ Λόγο Θεοῦ
γιατρεύτηκε τὸ κοριτσάκι.
Φώναξε ἀπ᾽ τὰ βάθη τῆς καρδιᾶς
ὅπως ἐκείνη στὸν Χριστό:
Γιὲ τοῦ Δαβίδ, σῶσε καὶ μένα!

*21. Σπλαγχνίσθητι, σῶσόν με·*
*Υἱὲ Δαυῒδ, ἐλέησον,*
*ὁ δαιμονῶντας*
*λόγῳ ἰασάμενος·*
*φωνὴν δὲ τὴν εὔσπλαγχνον,*
*ὡς τῷ Ληστῇ, μοι φράσον·*
*Ἀμήν σοι λέγω, μετ᾽ ἐμοῦ*
*ἔσῃ ἐν τῷ Παραδείσῳ,*

21. Σπλαχνίσου! Σῶσε με!
Γιὲ τοῦ Δαβίδ, ἐλέησέ με.
Σὺ ποὺ δαιμονισμένους
μὲ τὸν Λόγο Σου θεράπευσες.
Τὰ λόγια τὰ σπλαχνικά,
ὅπως γιὰ τὸν ληστή, πρόφερε καὶ γιὰ μένα:
Ἀληθινὰ σὲ βεβαιώνω ὅτι μαζί μου
θὰ ᾽σαι στὸν Παράδεισο,

---

[206] *Ματθ.* 11,20-24: «*Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν·* [21] *οὐαί σοι, Χοραζίν, οὐαί σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγενήθησαν αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν.* [22] *πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν.* [23] *καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγενήθησαν αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον.* [24] *πλὴν λέγω ὑμῖν ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί*».

[207] *Ματθ.* 15,21-28: «*Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.* [22] *καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγαζεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.* [23] *ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγοντες· ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν.* [24] *ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.* [25] *ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι.* [26] *ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις.* [27] *ἡ δὲ εἶπε· ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.* [28] *τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· ὦ γύναι, μεγάλη σου ἡ πίστις! γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης*».

*ὅταν ἔλθω ἐν τῇ δόξῃ μου*[208].

ὅταν θὰ ἔρθω μὲ τὴ δόξα μου.

*22. Ληστὴς κατηγόρει σοι,*
*Ληστὴς ἐθεολόγει σοι·*
*ἀμφότεροι γὰρ*
*σταυρῷ συνεκρέμαντο.*
*Ἀλλ᾽ ὦ Πολυεύσπλαγχνε,*
*ὡς τῷ πιστῷ Ληστῇ σου*
*τῷ ἐπιγνόντι σε Θεόν,*
*κἀμοὶ ἄνοιξον τὴν θύραν*
*τῆς ἐνδόξου βασιλείας σου*[209].

22. Ληστὴς Σὲ κατηγοροῦσε!
Καὶ ληστὴς πάλι θεολογοῦσε!
Κι οἱ δυό τους
ἦταν μαζί Σου κρεμασμένοι στὸν σταυρό.
Κύριέ μου πολυεύσπλαχνε,
ὅπως στὸν ληστὴ ποὺ Σὲ πίστεψε
καὶ Σ᾽ ἀναγνώρισε Θεό,
ἔτσι καὶ σὲ μένα ἄνοιξε τὴν πόρτα
τῆς ἔνδοξης Βασιλείας Σου.

*23. Ἡ Κτίσις συνείχετο*
*σταυρούμενόν σε βλέπουσα·*
*ὄρη καὶ πέτραι*
*φόβῳ διερρήγνυντο·*
*καὶ γῆ συνεσείετο*
*καὶ Ἅιδης ἐγυμνοῦτο·*
*καὶ συνεσκότασε τὸ φῶς*
*ἐν ἡμέρᾳ, καθορῶν σε,*
*Ἰησοῦ, προσηλωμένον σαρκί*[210].

23. Ἡ κτίση ἀγωνιοῦσε
βλέποντάς Σε νὰ σταυρώνεσαι.
Βουνὰ καὶ πέτρες
ἀπ᾽ τὸν φόβο σχίζονταν.
Ἡ γῆ συγκλονιζόταν ἀπὸ σεισμὸ
κι ὁ Ἅδης ἔμενε γυμνός.
Τὸ φῶς γινόταν σκοτάδι,
ἂν καὶ ἦτανε ἡμέρα, βλέποντάς Σε,
Ἰησοῦ, καρφωμένο στὸν σταυρό.

*24. Ἀξίους μετανοίας*
*καρποὺς μὴ ἀπαιτήσῃς με·*
*ἡ γὰρ ἰσχύς μου*
*ἐν ἐμοὶ ἐξέλιπε·*
*καρδίαν μοι δώρησαι*
*ἀεὶ συντετριμμένην·*
*πτωχείαν δὲ πνευματικήν,*
*ἵνα ταῦτά σοι προσοίσω*

24. Ἄξιους τῆς μετάνοιας
καρποὺς μὴ γυρέψεις ἀπὸ μένα,
διότι ἡ δύναμή μου
πλέον ἐξαντλήθηκε.
Δῶσε νὰ ἔχω πάντοτε
καρδιὰ συντετριμμένη
καὶ ταπεινὸ φρόνημα,
γιὰ νὰ Σοῦ τὰ προσφέρω

---

[208] *Ματθ.* 15,22: *«καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγαζεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Μάρκ.* 1,25: *«καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν». Λουκ.* 23,43: *«καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ».*

[209] *Λουκ.* 23,39-42: *«Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς.* [40] *ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;* [41] *καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.* [42] *καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.».*

[210] *Ματθ.* 27,51-52: *«Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν,* [52] *καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη».*

*ὡς δεκτὴν θυσίαν, μόνε Σωτήρ*[211].

θυσία εὐάρεστη, Μοναδικὲ Σωτήρα μου.

*25. Κριτά μου καὶ γνῶστά μου,*
*ὁ μέλλων πάλιν ἔρχεσθαι*
*σὺν τοῖς Ἀγγέλοις*
*κρῖναι Κόσμον ἅπαντα,*
*ἱλέῳ σου ὄμματι*
*τότε ἰδών με φεῖσαι·*
*καὶ οἴκτειρόν με, Ἰησοῦ,*
*τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν*
*τῶν ἀνθρώπων ἁμαρτήσαντα*[212].

25. Κριτή, ποὺ γνωρίζεις τὴν καρδιά μου
καὶ ποὺ πάλι νὰ ᾽ρθεις πρόκειται
μαζὶ μὲ τοὺς ἀγγέλους
γιὰ νὰ κρίνεις ὁλόκληρο τὸν κόσμο·
τότε κοιτάζοντάς με μὲ βλέμμα
σπλαχνικὸ λυπήσου με.
Κι ἐλέησε, Ἰησοῦ, ἐμένα
ποὺ ἁμάρτησα πιότερο
ἀπὸ κάθε ἄλλον ἄνθρωπο.

Δόξα.

Δόξα ἀνήκει στὸν Πατέρα...

*26. Τριὰς ὁμοούσιε,*
*Μονὰς ἡ τρισυπόστατος,*
*σὲ ἀνυμνοῦμεν*
*Πατέρα δοξάζοντες,*
*Υἱὸν μεγαλύνοντες*
*καὶ Πνεῦμα προσκυνοῦντες,*
*τὸν ἕνα φύσει ἀληθῶς*
*Θεόν, ζωήν τε καὶ ζωάς,*
*βασιλείαν ἀτελεύτητον.*

26. Τριάδα ὁμοούσια,
Μονάδα τρισυπόστατη,
Σὲ ἀνυμνοῦμε·
τὸν Πατέρα δοξάζοντας,
τὸν Υἱὸ μεγαλύνοντας
καὶ τὸ Ἅγιο Πνεῦμα προσκυνώντας.
Τὸν Θεὸ ποὺ εἶναι ἀληθινὰ στὴ φύση ἕνας,
μιὰ ζωὴ καὶ τρεῖς ζωές,
κι ἡ Βασιλεία ἡ ἀτέλειωτη.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τώρα... Θεοτοκίο.

*27. Τὴν Πόλιν σου φύλαττε,*
*Θεογεννῆτορ ἄχραντε·*
*ἐν σοὶ γὰρ αὕτη*
*πιστῶς βασιλεύουσα,*
*ἐν σοὶ καὶ κρατύνεται,*

27. Τὴν πόλη σου φύλαγε,
ἄχραντη Θεογεννήτρια.
Γιατὶ μὲ τὴ δική σου δύναμη
πιστὰ βασιλεύοντας ἀνάμεσα στὶς ἄλλες πόλεις,
μὲ τὴ χάρη σου γίνεται δυνατή.

---

[211] *Ματθ.* 3,8: *«ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας». Λουκ.* 3,8: *«ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ». Ψαλμ.* 37,11: *«ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ».* 50,19: *«θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει».*

[212] *Ματθ.* 25,31: *«Οταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ». Πράξ.* 17,31: *«διότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν»·* 10,42: *«καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν».*

*καὶ διὰ σοῦ νικῶσα*
*τροποῦται πάντα πειρασμὸν*
*καὶ σκυλεύει πολεμίους*
*καὶ διέπει τὸ ὑπήκοον.*

Καὶ μὲ τὴ βοήθειά σου νικώντας
κατατροπώνει κάθε πειρασμὸ
καὶ σκυλεύει τοὺς ἐχθροὺς
καὶ κυβερνᾶ τοὺς ὑπηκόους της.

## 2. Βασικά χαρακτηριστικά τοῦ Μεγάλου Κανόνα

Ὁ Μεγάλος Κανόνας ἀποτελεῖται ἀπό ἐννέα ὠδές (250 τροπάρια). Ἔχει ἔντεκα εἱρμούς, διότι ἔχει διπλό εἱρμό ἡ δεύτερη καί ἡ τρίτη ὠδή. Στήν ἔκδοση τοῦ Migne[213] ὁ ἀριθμός τῶν τροπαρίων κατανέμεται ὡς ἑξῆς: *α′ ὠδή, τροπάρια 25 – β′ ὠδή, τροπάρια 29 και 12 – γ′ ὠδή, τροπάρια 9 καί 19 – δ′ ὠδή, τροπάρια 29 – ε′ ὠδή, τροπάρια 23 – στ′ ὠδή, τροπάρια 17 και 16 – ζ′ ὠδή, τροπάρια 22 – η′ ὠδή, τροπάρια 22 – θ′ ὠδή, τροπάρια 27.*

Ὁ Μεγάλος Κανόνας ὡς ἕνα σπάνιο δημιούργημα ἔχει πάμπολλα ἰδιαίτερα ποιητικά στοιχεῖα καί χαρακτηριστικά, ὅπως: Μεταξύ εἱρμῶν καί τροπαρίων ὁ ποιητής τηρεῖ μέ προσοχή τήν ὁμοτονία, ἰσοσυλλαβία καί βρίσκουμε συχνά ὁμοιοκαταληξία. Ἰδιαίτερα ἐνδιαφέρον εἶναι τό ὕφος τοῦ Μεγάλου Κανόνα. Οἱ ὡραῖες ἐκφράσεις, οἱ παρομοιώσεις: «*ὡς ὄναρ, ὡς ἄνθος ὁ χρόνος τοῦ βίου τρέχει*[214]» καί «*ὡς δάμαλις... παροιστρήσασα... ὡς δορκὰς ἐκ βρόχων...*[215]». Ἐπίσης, τά ἐπίθετα, τό ἀπαράμιλλο λεξιλόγιο, τό ὁποῖο δεικνύει τήν ἐμβριθῆ γνώση τῆς ἀρχαίας ἑλληνικῆς γλώσσας καί τήν ἀρίστη φιλολογική του συγκρότηση-κατάρτιση[216]. Ἀκόμα ὑπάρχει, ἡ χρήση διαλόγων, ἐρωταποκρίσεων, μέ τά βιβλικά πρόσωπα καί τά ἱστορικά γεγονότα, πού προσδίδουν στόν Κανόνα καί δραματικό χαρακτήρα. Ὁ ποιητής ὁμιλεῖ σέ πρῶτο πρόσωπο, σάν νά πρόκειται γιά τόν ἑαυτό του, καί τό κάνει μέ ταπείνωση, γιά νά

---

[213] Ἀ ν δ ρ έ ο υ Κ ρ ή τ η ς, *Κανών ὁ Μέγας*, PG 97, 1329-1385. Βλ. ἐπίσης, Τριώδιον, *Κανών ὁ Μέγας*, σ. 271-287.

[214] *Μ.Κ.* δ′ ὠδή, τροπάριο 2.

[215] *Μ.Κ.* στ′ ὠδή, τροπάριο 3.

[216] Ὁ Θ. Δετοράκης ἔχει συντάξει δύο καταλόγους μέ λέξεις πού δέν ὑπάρχουν στό «Greek Patristic Lexicon» τοῦ Lampe ἤ καί ἄν ὑπάρχουν εἶναι ἀπό συγγραφεῖς μεταγενέστερα τοῦ ἁγίου Ἀνδρέα Κρήτης. Ἐνδεικτικῶς στόν πρῶτο κατάλογο: αὐτείδωλον, λιθοκτονέω, ὑγειόω, κ.ἄ., καί στό δεύτερο κατάλογο: ζωοπλαστέω, σηπεδών, φιλόϋλος, κ.ἄ., D e t o r a k i s Th., Lε vocabulaire: «Le vocabulaire d' André de Crète. Mots non thésaurisés par G.W.Lampe», JÖB 36 (1986) 45-60.

διδάξει σέ ὅλους τή δεινή, τή δύσκολη κατάσταση τοῦ ἁμαρτωλοῦ ἀνθρώπου καί τῆς ἀποστασίας ἀπό τόν Θεό.

## 3. Ὁ παιδαγωγικός χαρακτήρας τοῦ Μεγάλου Κανόνα

Ὁ ἅγιος Ἀνδρέας Κρήτης, πέραν τῶν ἄλλων, ἔχει ὡς σκοπό, μέσα ἀπό τή σύνθεση τοῦ Μεγάλου Κανόνα νά παρουσιάσει καί κάποιες παιδαγωγικές ἀρχές. Ἔχοντας κατά νοῦ τό ἁγιογραφικό «*ἐν παιδείᾳ καί νουθεσίᾳ Κυρίου*[217]», ἐπιθυμεῖ νά δώσει στόν ἀναγνώστη κάποια «μορφωτικά στοιχεία» καί νά τόν ἀνάγει σέ μία ὑψηλότερη πνευματική κατάσταση. Προσπαθεῖ ἔτσι, πρωτίστως, νά τόν ἀπελευθερώσει ἀπό τίς συνέπειες τῆς πτώσεως, τῶν παθῶν καί τῆς ἀνελευθερίας, καί νά τόν ἐπαναφέρει στήν προπτωτική κατάσταση, στήν κατάσταση τῆς ἐλευθερίας: «*Ἡμαρτηκότα, Σωτήρ, ἐλέησον· διέγειρόν μου τὸν νοῦν πρὸς ἐπιστροφήν· δέξαι μετανοοῦντα, οἰκτείρησον βοῶντα· Ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με*[218]».

Γιά τόν ἅγιο Ἀνδρέα, ὅμως, γιά νά βρεῖ ὁ ἄνθρωπος τήν ἐλευθερία, θά πρέπει νά ταυτιστεῖ μέ τό θέλημα τοῦ Θεοῦ, νά ἐργαστεῖ καί νά παιδαγωγηθεῖ σύμφωνα μέ τίς ἐντολές Του. Γι' αὐτό καί τόν παρακαλεῖ νά τόν φωτίσει καί νά τόν ὁδηγήσει στήν τήρηση αὐτῶν: «*Ἐκ νυκτὸς ὀρθρίζοντα, Φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμέ, ἐν τοῖς προστάγμασί σου· καὶ δίδαξόν με, Σωτήρ, ποιεῖν τὸ θέλημά σου*[219]». Ἡ ἐκτέλεση τοῦ Θείου θελήματος εἶναι γιά τόν παιδαγωγούμενο ἕνας διαρκής ἀγῶνας στήν πνευματική τελείωση καί ὁλοκλήρωσή του: «*Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς*[220]». Ἡ ζωή μας ἐναρμονίζεται μέ τίς θεῖες ἐντολές, γι'

---

[217] *Ἐφεσ.* 6,4.

[218] *Μ.Κ.* η' ᾠδή, τροπάριο 1.

[219] *Μ.Κ.* ε' ᾠδή, Εἱρμός.

[220] *Ματθ.* 7,21.

αὐτό βρισκόμαστε σέ μία συνεχῆ ἀναζήτηση: «*τί τό θέλημα τοῦ Θεοῦ τό ἀγαθόν καί εὐάρεστον καί τέλειον*[221]».

Ὁ ποιητής καλεῖ τόν παιδαγωγούμενο νά ἔλθει κοντά στόν Χριστό, νά τόν προσεγγίσει, νά συνομιλήσει, διά τῆς μετανοίας: «*Χριστὸς ἐνηνθρώπησε καλέσας εἰς μετάνοιαν, λῃστὰς καὶ πόρνας· ψυχὴ μετανόησον, ἡ θύρα ἠνέῳκται τῆς Βασιλείας ἤδη· καὶ προαρπάζουσιν αὐτὴν Φαρισαῖοι καὶ Τελῶναι καὶ μοιχοὶ μεταποιούμενοι*[222]» καί ἀπευθύνεται σέ ὅλους, διότι τό προσκλητήριο τοῦ Κυρίου δέν κάνει διακρίσεις, εἶναι καθολικό: «*Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς*[223]».

Ὁ ἱερός ὑμνογράφος γιά τήν ἐπίτευξη τοῦ στόχου καί τήν αἴσια ὁλοκλήρωση τοῦ σκοποῦ τῆς τελείωσης τοῦ ἀνθρώπου, τόν συμβουλεύει νά ἐξέλθει ἀπό τήν κατάσταση τῆς ἀλογίας, ἡ ὁποία τόν ἐγκλωβίζει στήν ἀνελευθερία: «*Δεῦρο, τάλαινα ψυχή, σὺν τῇ σαρκί σου τῷ πάντων Κτίστῃ ἐξομολογοῦ· καὶ ἀπόσχου λοιπὸν τῆς πρὶν ἀλογίας, καὶ προσάγαγε Θεῷ ἐν μετανοίᾳ δάκρυα*[224]». Τοῦ δίδει δέ, ὡς «μέσα» παιδαγωγικά, τά παραδείγματα πού χρησιμοποιεῖ, τίς εἰκόνες, ἀπό τήν Παλαιά καί Καινή Διαθήκη. Τά περιστατικά ἀναφέρονται στά θαύματα τοῦ Ἰησοῦ Χριστοῦ, μέ τά ὁποῖα χάρισε τήν ψυχοσωματική θεραπεία-ὑγεία καί τήν ἠθική ἀνακαίνιση καί ἰσορροπία. Μέ αὐτά ὁ παιδαγωγούμενος προσπαθεῖ νά νεκρώσει τά κατώτερα πάθη, τή φιλαυτία καί τόν ἐγωϊσμό, καί μέ συντριβή καρδίας καί κατάνυξη νά βιώσει ἐμπράκτως τή μετάνοια: «*Τῆς Νέας παράγω σοι Γραφῆς τὰ ὑποδείγματα, ἐνάγοντά σε, ψυχή, πρὸς κατάνυξιν· δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου καὶ*

---

[221] *Ρωμ.* 12,2.

[222] *Μ.Κ.* θ΄ ᾠδή, τροπάριο 6. Πρβλ. *Ματθ.* 3,2: «*μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.*»

[223] *Ματθ.* 11,28.

[224] *Μ.Κ.* α΄ ᾠδή, τροπάριο 2.

*ἐξιλέωσαι Χριστὸν προσευχαῖς τε καὶ νηστείαις, καὶ ἁγνείᾳ καὶ σεμνότητι*[225]».

Ἐπίσης, προσπαθεῖ ὁ παιδαγωγούμενος νά μιμηθεῖ καί νά ὁμοιάσει τούς Ἁγίους, οἱ ὁποῖοι, μέ ἔργα ἀρετῆς, ἔφθασαν σέ ὑψηλά πνευματικά μέτρα, στήν ἀπάθεια καί τελείωση.[226] Ὁ ἴδιος διαπιστώνει τήν πνευματική του φτώχεια: «*Πάντας τοὺς πρὸ νόμου παραδραμοῦσα, ὦ ψυχή, τῷ Σὴθ οὐχ ὡμοιώθης, οὐ τὸν Ἐνὼς ἐμιμήσω, οὐ τὸν Ἐνὼχ τῇ μεταθέσει, οὐ τὸν Νῶε· ἀλλ᾽ ὤφθης πενιχρὰ τῆς τῶν δικαίων ζωῆς*[227]». Ἀλλά γιά νά ἀνακαινισθεῖ καί νά μεταμορφωθεῖ ὁ παιδαγωγούμενος καί νά φτάσει σέ ὑψηλές πνευματικές θεωρίες[228] πρέπει, διά τῆς ἀγωγῆς, νά βαδίσει σέ δρόμο δύσκολο-δύσβατο, ἀνηφορικό: «*Ἡ κλῖμαξ, ἣν εἶδε πάλαι ὁ μέγας ἐν Πατριάρχαις, δεῖγμα, ψυχή μου, πρακτικῆς ὑπάρχει ἐπιβάσεως, γνωστικῆς τυγχάνει ἀναβάσεως· εἰ θέλεις οὖν πράξει, καὶ γνώσει καὶ θεωρίᾳ βιοῦν, ἀνακαινίσθητι*[229]». Ἔχει μεγάλη παιδαγωγική ἀξία καί ἡ ἐποπτικότητα στόν Μεγάλο Κανόνα, διότι ὁ ποιητής διδάσκει καί παιδαγωγεῖ, διαπλάθει ἦθος καί χαρακτήρα, μέ τίς εἰκόνες καί μέ τίς ζωηρές παραστάσεις. Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος σημειώνει χαρακτηριστικά: «*Ἀλλ᾽ ἀπό τῶν αἰσθητῶν ἐπί τά πνευματικά τόν λόγον μετάγωμεν*[230]».

Ἀκόμα, γιά νά παιδαγωγηθεῖ καί γιά νά ὠφεληθεῖ ὁ παιδαγωγούμενος, ὁ συνθέτης μέσα ἀπό τήν ἀπαράμιλλη ὑμνογραφική σύνθεσή του, παρουσιάζει με τρόπο γλαφυρό καί

---

[225] *Μ.Κ.* θ′ ᾠδή, τροπάριο 4.

[226] «*Ὤ! Πόση τῶν ἁγίων ἡ ἀρετή! Οὐχί τά ῥήματα αὐτῶν μόνον, οὐδέ τά σώματα, ἀλλά καί αὐτά τά ἱμάτια τῇ κτίσει πάσῃ πάντοτε εἰσιν αἰδέσιμα. Ὁ λέων εἰς δίκτυα πολλάκις ἐμπεσών ἁλίσκεται, οἱ δέ ἅγιοι δεθέντες τότε ἰσχυρότεροι γίνονται. Ὁ λέων φθέγγεται καί τά θήρια φυγαδεύει πάντα. Ὁ ἅγιος φθέγγεται καί τούς δαίμονας ἐλαύνει μακρόθεν πάντοτε*» Ἰ ω. Χ ρ υ σ ο σ τ ό μ ο υ, *Εἰς τούς Ἀνδριάντας Η′*, PG 49, 99-100. Ἐπίσης, τοῦ Ἰ δ ί ο υ, *Εἰς τούς Ἀνδριάντας Γ′*, PG 49, 48: «*Τῶν ἁγίων οὐχί τά ῥήματα μόνον, ἀλλά καί αὐτά τά πρόσωπα πνευματικῆς γέμει χάρτιος*».

[227] *Μ.Κ.* β′ ᾠδή, τροπάριο 32.

[228] Βλ. *Ἑβρ.* 6,6, *Κολ.* 3,10 καί *Ρωμ.* 12,2.

[229] *Μ.Κ.* δ′ ᾠδή, τροπάριο 6.

[230] Ἰ ω. Χ ρ υ σ ο σ τ ό μ ο υ, *Ὅτι χρήσιμος*, PG 51,98.

πολύ παραστατικό τή δημιουργία τοῦ κόσμου, ὅπως τήν περιγράφει ὁ Μωϋσῆς στό βιβλίο τῆς Γενέσεως: «*Μωσέως παρήγαγον, ψυχή, τὴν κοσμογένεσιν καὶ ἐξ ἐκείνου πᾶσαν ἐνδιάθετον γραφὴν ἱστοροῦσάν σοι δικαίους καὶ ἀδίκους· ὧν τοὺς δευτέρους, ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα*[231]».

Ἐκτός τούτων, ὁ ἅγιος Ἀνδρέας Κρήτης παρακινεῖ τόν παιδαγωγούμενο ν' ἀγωνισθεῖ μέ τήν κινητοποίηση ὅλων τῶν ψυχοσωματικῶν του δυνάμεων μέ τόν τρόπο τῆς ἐσωτερικῆς μυστικῆς ἀσκήσεως γιά ν' ἀριστεύσει καί νά λάβει ὡς βραβεῖο τήν πράξη καί τή γνώση. Θά πάρει ὡς ἔπαθλο: α) νά γίνει νοῦς Θεόπτης, νά βλέπει δηλαδή τόν Θεό, β) νά εἰσέλθει σέ γνόφο ἄδυτο, σέ μία ἰδιαίτερη ὑψηλή πνευματική κατάσταση καί γιά νά γίνει «ἔμπορος» καί μέτοχος μεγάλων πνευματικῶν δωρεῶν καί πολλῆς χάριτος: «*Γρηγόρησον, ὦ ψυχή μου, ἀρίστευσον ὡς ὁ μέγας ἐν Πατριάρχαις, ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως, ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν, καὶ φθάσῃς τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ, καὶ γένῃ μεγαλέμπορος*[232]».

Ἐπίσης, ὁ ἱερός ὑμνογράφος τονώνει τό ἠθικό τοῦ παιδαγωγούμενου στήν ἀντιμετώπιση τῶν δυσκολιῶν καί τῶν ποικίλων πειρασμῶν. Ἐνισχύει τήν αὐτοπεποίθησή του, καί μέ σθένος ἀποκρούει τόν φόβο πού τοῦ προκαλεῖ ὁ «πονηρός»: «*Νηστεύσας ὁ Κύριος ἡμέρας τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε δεικνὺς τὸ ἀνθρώπινον. Ψυχή, μὴ ἀθυμήσῃς· ἄν σοι προσβάλῃ ὁ ἐχθρός, προσευχαῖς τε καὶ νηστείαις ἐκ ποδῶν ἀποκρουσθήτω σοι*[233]». Παρακινεῖ δέ τόν μαθητευόμενο νά κάνει τήν αὐτομεμψία, τήν αὐτοκριτική, τόν αὐτοέλεγχο καί τήν

---

[231] *Μ.Κ.* θ' ᾠδή, τροπάριο 2.

[232] *Μ.Κ.* δ' ᾠδή, τροπάριο 9. Πρβλ. (*Μ.Κ.* στ' ᾠδή, τροπάριο 10): «*Ἐρεύνησον, ψυχή, κατασκόπευσον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας τὴν γῆν, ὁποία ἐστί, καὶ κατοίκησον ἐν αὐτῇ δι᾽ εὐνομίας*».

[233] *Μ.Κ.* θ' ᾠδή, τροπάριο 8. Πρβλ. Σ υ μ ε ώ ν Ν έ ο υ Θ ε ο λ ό γ ο υ, *Κεφάλαια πρακτικά να'*, PG 120,624: «*ὁ φοβούμενος τόν Κύριον, δαιμόνων ὁρμάς οὐ φοβεῖται, οὐδέ τούς ἀσθενεῖς ἐφόδας αὐτῶν*».

ἐνδοσκόπησή του: «*Ἥμάρτηκα, Κύριε, ἡμάρτηκά σοι, ἱλάσθητί μοι*[234]».

Τέλος, ὁ ἅγιος Ἀνδρέας Κρήτης, χρησιμοποιεῖ τόν «*ἔλεγχο καί τήν τιμωρία*», ὡς μέσο παιδαγωγικό γιά τήν ἀγωγή, βελτίωση και συμμόρφωση τοῦ ἐκπαιδευομένου: «*Εἰ καὶ ἥμαρτον, Σωτήρ, ἀλλ᾽ οἶδα ὅτι φιλάνθρωπος εἶ· πλήττεις συμπαθῶς καὶ σπλαγχνίζῃ θερμῶς· δακρύοντα βλέπεις καὶ προστρέχεις ὡς Πατὴρ ἀνακαλῶν τὸν Ἄσωτον*[235]». Χαρακτηριστικό ν′ ἀναφερθεῖ ἐδῶ καί μία θέση τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἡ ὁποία εἶναι παρόμοια μέ τοῦ Ἀνδρέου τοῦ Ἱεροσολυμίτου. Διότι ὅτι κάνει ὁ Θεός, ὅτι ἐπιτρέπει, ὁποιαδήποτε τιμωρία, τό κάνει ἀπό ἀγάπη, γιά νά συνετίσει, νά εὐεργετήσει τόν ἄνθρωπο: «*Ὁ Θεός φιλῶν ποιεῖ πάντα. Εὐεργετῶν ἐξέβαλε τοῦ παραδείσου, τόν κατακλυσμόν εἰργάσατο, τό πῦρ ἐκεῖνο τό τῶν Σοδόμων κατήνεγκε, καί τήν γέεναν ἠπείλησε. Εἰ ἔμελλε καθ′ ἕκαστον τῶν ἁμαρτημάτων ὁ Θεός τιμωρίαν ἐπάγειν, καί ἐφ′ ἑκάστου τῶν πλημμελούντων τήν δικαίαν ἐπιφέρειν ψῆφον, πάλαι ἄν προηναρπάσθη τό τῶν ἀνθρώπων γένος*»[236].

---

[234] *Μ.Κ.* γ′ ᾠδή, τροπάριο 12.

[235] *Μ.Κ.* α′ ᾠδή, τροπάριο 12. Πρβλ. *Β′ Τιμ.* 2,24-26: «*δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα*».

[236] Ἰω. Χρυσοστόμου, *Εἰς τόν ΡΙ′ Ψαλμόν*, PG 55, 283-285.

## 4. Ἄνθρωπος καί δημιουργία στόν Μεγάλο Κανόνα

Ἕνα ἀπό τά ἀξιολογότερα καί σημαντικότερα ἔργα τοῦ ἁγίου Ἀνδρέα Κρήτης εἶναι ὁ Μέγας Κανών. Εἶναι ἕνα ἀπό τά σπουδαιότερα ἀριστουργήματα τῆς βυζαντινῆς ὑμνογραφίας καί ἀπό τούς μεγαλύτερους κανόνες, γι' αὐτό ἔλαβε καί τήν συγκεκριμένη ὀνομασία. Κατέχει ἰδιαίτερη θέση μέσα στή λατρευτική ζωή τῆς Ἐκκλησίας. Ψάλλεται[237] ὁλόκληρος στόν ὄρθρο τῆς Πέμπτης, τῆς Ε' ἑβδομάδος τῆς Μεγάλης Τεσσαρακοστῆς (στίς Ἐκκλησίες στόν κόσμο -ἐκτός Ἱερῶν Μονῶν- ψάλλεται τό βράδυ τῆς Τετάρτης) καί τμηματικά τήν Α' ἑβδομάδα τῶν Νηστειῶν τίς ἡμέρες: Δευτέρα, Τρίτη, Τετάρτη καί Πέμπτη. Τά θέματα πού διαπραγματεύεται προέρχονται ἀπό τήν Παλαιά καί Καινή Διαθήκη.

Ἡ ἁγία Γραφή καί εἰδικῶς ἡ Παλαιά Διαθήκη δίδει ἰδιαίτερη ἔμφαση στήν ἁρμονία καί στήν τελειότητα τῆς δημιουργίας, ἡ ὁποία ἀδιαλείπτως διηγεῖται τή δόξα τοῦ Δημιουργοῦ Θεοῦ: «*Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δέ χειρῶν αὐτοῦ ἀναγγέλει τό στερέωμα*»[238]. Οἱ Πατέρες δέ τῆς Ἐκκλησίας τονίζουν ἰδιαιτέρως τή διμερή ὕπαρξη τοῦ ἀνθρώπου, βιολογική καί πνευματική, σέ σῶμα καί ψυχή, μέ ἄμεση ἀλληλοεπίδραση καί ἀλληλοεξάρτηση: «*Διπλοῦς ἔστιν ὁ ἄνθρωπος, ὁ ἐκτός τό σῶμα λέγω, καί ὁ ἐντός ἡμῶν ἄνθρωπος, ἡ ψυχή δηλονότι*»[239].

Στήν διπλή ὀντότητα τοῦ ἀνθρώπου, ψυχική καί σωματική, κάνει ξεχωριστή ἀναφορά ὁ ἅγιος Ἀνδρέας Κρήτης. Χαρακτηριστικά στόν Μέγα Κανόνα γράφει ὅτι ὡς Κεραμέας ὁ

---

[237] Ψάλλεται σέ ἦχο πλάγιο τοῦ β'. Ἦχος κατανυκτικός, μέ ἔκφραση πένθιμων στοιχείων, συντριβή ψυχῆς καί καρδίας, καί συγκλονιστικῆς μετανοίας. Χαρακτηριστικό τό κοντάκιο τοῦ Μ. Κανόνος, ᾠδή στ': «*Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν*».

[238] *Ψαλμ.* 18,2.

